NOTÆ

IN

NICETAM EUGENIANUM

ET

CONSTANTINUM MANASSEM

ΝΙΚΗΤΑΣ ΕΥΓΕΝΕΙΑΝΟΣ

ΚΑΙ

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΜΑΝΑΣΣΗΣ

NICETÆ EUGENIANI

NARRATIONEM AMATORIAM

ET

CONSTANTINI MANASSIS

FRAGMENTA

EDIDIT VERTIT ATQUE NOTIS INSTRUXIT

IO. FR. BOISSONADE

TOM. II.

LUGDUNI BATAVORUM,

APUD S. ET J. LUCHTMANS,

ACADEMIÆ TYPOGRAPHOS.

MDCCCXIX.

ΠΟΙΗΣΙΣ

ΚΥΡΙΟΥ ΝΙΚΗΤΟΥ ΤΟΥ ΕΥΓΕΝΕΙΑΝΟΥ

κατὰ μίμησιν τοῦ μακαρίτου φιλοσόφου τοῦ Προδρόμου.

POEMA

D. NICETAE EUGENIANI

ad imitationem b. philosophi Prodromi.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΟΛΟΥ ΒΙΒΛΙΟΥ.

Αὐτοῦ Δροσίλλης ἀλλὰ καὶ Χαρικλέους
φυγὴ, πλάνη· κλύδωνες· ἁρπαγαί· βίαι·
λῃςαί· φυλακαί· πειρᾶται· λιμαγχόναι·
μέλαθρα δεινὰ καὶ κατεζοφωμένα
ἐν ἡλίῳ λάμποντι μετὰ τοῦ σκότους·
κλοιὸς σιδηροῦς ἐσφυρηλατημένος·
χωρισμὸς οἰκτρὸς δυςυχὴς ἑκατέρων·
πλὴν ἀλλὰ καὶ νυμφῶνες ὀψὲ καὶ γάμοι.

Argumentum totius operis.

Hic insunt Drosillæ atque Chariclis fuga, erroresque; procellæ; rapinæ; violentiæ; prædones; carceres; piratæ; fames; domus horridæ, et, medio sole, tenebris caligantes; collare ferro conflatum; amborum separatio miseranda tristisque; at tandem thalami et nuptiæ.

ΤΩΝ

ΚΑΤΑ ΔΡΟΣΙΛΛΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΝΥΝ τοῦ φεραυγοῦς ἀϛεράρχου φωσφόρου
ἐκ τοῦ κάτω φάναντος ἡμισφαιρίου,
ἐξ ὠκεανοῦ τῶν ῥοῶν λελουμένου,
καὶ γῆς τοσαύτης ἐκταθείσης εἰς πλάτος
ἀναδραμόντος τοὺς κορυφαίους τόπους,
Πάρθοι παρεμπίπτουσι Βάρζῳ τῇ πόλει,
οὐχ ὡς κατ᾽ αὐτῆς συγκροτήσοντες μάχην,
οὐδ᾽ ὡς βαλοῦντες ῥιψεπάλξιδας λίθους
ἐκ πετροπομπῶν εἰς τὸ τεῖχος ὀργάνων,
οὐδ᾽ ὡς κατασπάσοντες ἐκ τῶν ὑψόθεν
πέτραις, χελώναις καὶ κριοῖς χαλκοϛόμοις
(οὐκ ἦν γὰρ εὐάλωτος αὐτοῖς ἡ πόλις,
κρημνοῦ περισφίγγοντος αὐτὴν κυκλόθεν),

DROSILLÆ ET CHARICLIS

RERUM

LIBER PRIMUS.

JAM rex splendidus astrorum dieique parens ex infero Titan emerserat hemisphærio, oceani fluentis prolutus, et telluris in tam vastam extensæ latitudinem ardua cursu loca superaverat; cum Parthi Barzo urbi accursu propinquant, non quam vi oppugnarent, nec e tormentis longe saxa rotantibus in muros missuri molares cum propugnaculorum ruina, nec ut testudinibus æratisque arietibus summas detergerent pinnas (urbs enim undique rupibus cincta anfractu celsiore discissis, non erat facile expugnabilis);

sed ut Barzitas homines deprehensos raperent, bonaque illorum obvia. Itaque procul ab oppiduli mœnibus explicati dispalatique Parthici exploratores exercitus, momento temporis parvi, loca vastavere vicina; ac repente una omnes Barbari concursantes proxima portis quæque Mysorum prædam fecerunt. Miseros enim ense necabant viros, qui obsistere conabantur; cæteros ante se agebant onustos vinculis. Arborem quamque immane furentes confringebant, esti fructuum viderent inclinatam pondere. Capellas vaccasque corripiebant, quæ muros ingredi non potuerant. Trahebantur mulieres, quæ et ipsæ trahebant puellulos; flebant matres miseræ; adflebant matribus puelluli ubertate lactei roris carentes: mammarum enim alimentarius liquor in sanguineas guttas converterat. Ante æstatem spica demetebatur,

ἀλλ' ὡς ἀφαρπάσοντες ἄνδρας Βαρζίτας
οὓς ἐκτὸς ἂν λήψοιντο τῶν δομημάτων,
καὶ πᾶσαν αὐτῶν τὴν τυχοῦσαν οὐσίαν.
Καὶ γοῦν ὑφαπλωθεῖσα καὶ τεταμένη
τῶν τῆς πολίχνης τειχέων ἀποσπάδην
ὑπουργικὴ χεὶρ Παρθικῆς φυλαρχίας
αἰφνηδὸν ἐσκύλευε τοὺς πέριξ τόπους·
οἱ Βάρβαροι δὲ συνδραμόντες αὐτίκα
λείαν Μυσῶν ἔθεντο τὰ πρὸς ταῖς πύλαις.
Τοὺς μὲν γὰρ ἐσπάθιζον ἄνδρας ἀθλίους
οὓς ἀντιπίπτειν ἔβλεπον πειρωμένους·
τοὺς δὲ προῆγον δεσμίους κρατουμένους.
Πᾶν συγκατέκλων δένδρον ἐξ ἀπληςίας,
καίτοι βρίθον βλέποντες ἐξ εὐκαρπίας.
Τὴν αἶγα, τὴν βοῦν συγκαθήρπαζον τότε,
ἢ μὴ τὸ τεῖχος εἰσδραμεῖν ἐπεφθάκει.
Γυναῖκας εἷλκον αἳ συνεῖλκον τὰ βρέφη·
ᾤμωζον αὐτῶν αἱ τάλαιναι μητέρες,
καὶ συνεμινύριζον αὐταῖς τὰ βρέφη·
οὐκ ἀπομαςεύειν γὰρ εἶχον εὐκόλως·
τῶν οὐθάτων γὰρ ἡ βρεφοτρόφος ῥύσις
εἰς αἱματοςάλακτον ὄμβρον ἐτράπη.
Ἐκεῖ ςάχυς ἐτμᾶτο καὶ πρὸ τοῦ θέρους,

τὴν ἵππον ὡς θρέψαιτο τὴν τῶν Βαρβάρων·
καὶ βότρυς ἁδρὸς ἐθλίβη πρὸ τῆς τρύγης,
ὄνυξιν ἵππων συμπατηθεὶς ἀθλίως,
λεηλατούντων τὴν περίχωρον κύκλῳ
Πάρθων ἀπηνῶν, δυσμενῶν, ἀλλοθρόων.
Τί γοῦν ἐπ' αὐτοῖς; Οἱ μὲν ἐκτὸς τειχέων
ὅσοι φυγεῖν ἔφθασαν ἐκ ξίφους τέως,
φεῦ! τοὺς ἑαυτῶν ἐντιθέντες αὐχένας
ζεύγλῃ βαρείᾳ δυσχεροῦς ὑπουργίας,
τὴν σφῶν κακίστην ἐξεδάκρυον τύχην·
οἱ δ' ἐντὸς αὐτῶν εἰσρυέντες τειχέων,
τὴν Παρθικὴν μάχαιραν ἐκπεφευγότες,
πρὸς τὴν ἐφ' ὕψους ἀσφαλῆ τείχους βάσιν
ἀναδραμόντες, τοῖς ἀπεξενωμένοις
ξυμπατριώταις ἀντεπέστενον μέγα,
« Τίς βάσκανος, » λέγοντες » ἀγρία Τύχη
» καὶ νῦν διεσπάσατο τοὺς ὁμογνίους;
» Φεῦ! τίς Ἐριννὺς, τίς Ἀλάστωρ, τίς Τύχη
» δουλοῖ κακούργοις Βαρβάροις ἐλευθέρους!
» Ποίοις ἀπ' αὐτῶν ἐνστενάξει τίς μέγα;
» τοῖς συσφαγεῖσι; τοῖς ἁλοῦσι δεσμίοις;
» χήραις γυναιξί; ταῖς ἀνάνδροις παρθένοις;
» ἀπειροκάκῳ τῇ βρεφῶν ὁμηγύρει;

quæ barbarorum aleret equitatum; et ante vindemiam spissa premebatur uva ungulis equorum fœde calcata, dum totam circa regionem popularentur Parthi crudeles, infensis animis et barbara lingua. Quid insuper addam? Extra muros si quibus mucro pepercerat, cervicem ah! jugo inserentes gravi molestæ servitutis, sortem deplorabant tristissimam. Verum intra muros qui se receperant, effugerantque Parthicum ensem, tutam conscendentes muri summitatem, abactis in exilium civibus alta voce adgemebant, dicentes: « Quis invidus
» sævusque dæmon nos nunc divisit con-
» generes? Heu! quæ Furia, malus quis
» Genius, quæ Fortuna liberos homines
» servos facit pessimorum Barbarorum? Qui-
» bus ex illis graviter ingemiscendum erit?
» occisis? an captis vinctisque? viduis con-
» jugibus? an virginibus innuptis? infan-
» tium turbæ adhuc calamitatum insciæ?

» an nobis metipsis? oh casus mœstissimos! »
Sic illi premebantur malis; et tollebatur gemitus promiscuus, gravis, ingens, virorum, mulierum, virginum juvenumque. Verum Barbari, rapinæ intenti, prædæ colligendæ curam neutiquam omittebant. Hostis enim sævus, crudelis, dulci ante alias voluptate fruitur, cum homines bonis exuit prorsus immeritos. Ergo captivis arcte devinctis, sero tandem ad cibum potumque divertebantur. Aderat captivorum par, præda insignis, insolubilibus, ut cæteri, catenis constrictum, utque cæteri, flens gemensque, pulcher Charicles et Drosilla pulchrior. Consederant autem Barbari in campi planitie, et adposisos carpebant cibos. Hujus autem in medio pratum erat amœnissimum, quod circum cingebant lætæ laurus, cupressi, platani, quercus; quas inter surgebant arbores venustæ frugiferæque, multis cum liliis, herbisque roseis.

» ἡμῖν ἑαυτοῖς; ὢ κακῶν συγκυρμάτων! »
Οὗτοι μὲν οὕτω τοῖς πόνοις ἐκαρτέρουν,
καὶ θρῆνος ἦρτο συμμιγὴς, βαρὺς, μέγας,
ἀνδρῶν, γυναικῶν, παρθένων, μειρακίων.
Τὸ Βάρβαρον δὲ συλλογῆς οὐκ ἠμέλει·
πρὸς ἁρπαγῆς γὰρ ἠσχολεῖτο φροντίδας.
Ἀνὴρ γὰρ ἐχθρὸς, βαρβαρόφρων, ὠμόνους,
ἀντὶ τρυφῆς εἴωθεν ἡγεῖσθαι πάσης
ἄνδρας σκυλεύειν μηδὲν ἠδικηκότας.
Τοὺς γοῦν ἁλόντας συμπεδήσαντες, μόλις
ἀπεῖδον ὀψὲ πρὸς τρυφὴν καὶ πρὸς πόσιν.
Τούτοις συνῆν θήραμα καὶ τοῦτο ξένον,
ὃ καὶ συνεξέσφικτο δεσμοῖς ἀλύτοις
καὶ συγκατεστέναζε τοῖς πεδουμένοις,
καλὸς Χαρικλῆς καὶ Δροσίλλα καλλίων.
Καὶ δὴ συνιζήσαντες ἐν πεδιάδι
προκειμένης ἥπτοντο τῆς ἐδητύος.
Λειμὼν γὰρ ἦν ἥδιστος αὐτῆς ἐν μέσῳ,
οὗ γύροθεν μὲν ἦσαν ὡραῖαι δάφναι
καὶ κυπάριττοι καὶ πλάτανοι καὶ δρύες,
μέσον δὲ δένδρα τερπνὰ καὶ καρποφόρα.
Πόα τε κρίνων καὶ πόα τερπνὴ ῥόδων
πολλὴ παρῆν ἐκεῖσε, λειμῶνος μέσον·

αἱ κάλυκες δὲ τῶν ῥόδων κεκλεισμέναι,
ἢ μᾶλλον εἰπεῖν, μικρὸν ἀνεῳγμέναι,
ταύτην ἐθαλάμευον ὥσπερ παρθένον.
Τούτου δὲ πάντως αἰτίαν λογιςέον
θερμαντικὴν ἀκτῖνα τὴν τοῦ φωσφόρου·
ὅταν γὰρ αὕτη, καὶ καλῶς οὕτως ἔχῃ,
μέσον καλύκων φλεκτικῶς ἐπεισϐάλῃ,
γυμνοῦσιν αὗται τὴν ῥοδόπνοον χάριν.
Καὶ νᾶμα πηγιμαῖον ἦν ἐκεῖ ῥέον,
ψυχρὸν, διειδὲς, καὶ γλυκάζον ὡς μέλι·
κίων δέ τις ἀνεῖχε τῆς πηγῆς μέσον,
ἔσωθεν οὕτω τεχνικῶς γεγλυμμένος·
σωλῆνι μακρῷ δῆθεν ἐξεικασμένος,
δι' οὗ τὸ ῥυτὸν ὑπανήκετο τρέχον·
πλὴν ἀετός τις, τοῦτο προσδεδεγμένος,
(χαλκοῦς γὰρ ἦν ἄνωθεν ἐςὼς εὐτέχνως),
ἐξῆγε τοῦ ςόματος αὖ καταῤῥέον.
Λευκῶν δὲ πετρῶν τῆς καλῆς πηγῆς μέσον
ἀγαλμάτων ἕςηκεν εὐξέςων κύκλος·
οἱ δ' ἀνδριάντες ἦσαν ἔργα Φειδίου,
καὶ Ζεύξιδος πόνημα καὶ Πραξιτέλους,
ἀνδρῶν ἀρίςων εἰς ἀγαλματουργίαν.
Τῷ δεξιῷ δὲ τοῦ παραδείσου μέρει

Clausi, vel potius semihiantes papillati rosarum corymbi, florem quasi virgunculam thalami septis intercludebant. Quod quidem calidis Luciferi radiis effici omnino credendum est. Quando enim, aptò tempore, ardentem vim mediis inspirant calathis, angusto jam nudatur galero rosarum suavespirántium honos. Nec non hic fluebant fontani latices, frigidi, vitrei, et velut mellá dulces. Columna surgebat medio fontis meditullio, intus summa scalptoris arte elaborata: longo nimírum erat tubo similis, per quem rapido unda motu sursúm elata, ab aquila excipiebatur, quæ ænea superne stabat non sine artis miraculo, cujusque manabat ab ore. Pulchri simul fontis medio in orbem stabant dispositæ statuæ e lapide albo affabre politæ, Phidiæ manus, laborque Zeuxidis et Praxitelis, virorum statuariæ peritissimorum. In dextra horti parte,

extra lignea septa, ara Baccho instructa fuit, cujus festum celebrabant Barzitæ, cum nefariorum multitudo Barbarorum subitis fluctibus populares oppressit; extra mœnium custodiam versantes una cum conjugibus liberisque, et Bacchi dei solemnia illic agentes, simulque vescentes sub tentoriis. Hæc propter solemnia Drosilla virgo una cum puellis virginibusque coætaneis oppiduli muros liquerat pulchrum chori orbem instaurans. Cœlo stellis pellucenti similem se ferebat puella, distinctam auro, splendidam, albo-purpurascentem, ut in festo die, vestem induta; statura commoda, candidis manibus unguibusque candidis, labellis genisque rosarum colore rubentibus; oculis nigris concinnoque orbe circumscriptis; genis rubeis; naso paululum inflexo; comis nitidis, luxuriantibus, et apte dispositis: labia dixeris rosarum calycem, alveare apertum,

ἔξωθεν αὐτῶν τῶν ξυλίνων θριγγίων,
βωμὸς κατεσκεύαστο τῷ Διονύσῳ,
οὗ τὴν ἑορτὴν εἶχον ἄνδρες Βαρζῖται·
καθ᾽ ἣν τὸ πλῆθος τῶν ἀθέσμων Βαρβάρων
ἄφνω παρεισέῤῥευσε τοῖς ἐγχωρίοις,
φυλακτικῶν ἔξωθεν οὖσι τειχέων
ὁμοῦ μετ᾽ αὐτῶν τῶν γυναικῶν καὶ τέκνων,
καὶ τὴν ἑορτὴν τοῦ Θεοῦ Διονύσου
ἐκεῖ τελοῦσι, καὶ συνεστιωμένοις
σκηνοῤῥαφικῶν ἔνδοθεν στεγασμάτων·
δι᾽ ἣν ἑορτὴν καὶ Δροσίλλα παρθένος,
σὺν ταῖς κατ᾽ αὐτὴν καὶ κόραις καὶ παρθένοις,
τὸ τεῖχος ἤδη τῆς πολίχνης ἐξέδυ,
χοροῦ καλὴν τόρνωσιν ἐνστησαμένη.
Ὡς οὐρανὸς γὰρ ἦν ἔναστρος ἡ κόρη,
χρυσοῦν φαεινὸν λευκοπόρφυρον φάρος,
πρὸς τὴν ἑορτὴν δῆθεν, ἠμφιεσμένη·
εὔρυθμος ἤθην· λευκοχειροσαρκόνυξ·
χεῖλη, παρειὰς ἐξέρυθρος ὡς ῥόδον·
ὀφθαλμὸς αὐτῆς εὐπερίγραπτος, μέλας·
πυρσὴ παρειά· ῥὶς γρυπή· στιλπνὴ κόμη,
ναὶ καὶ χλιδῶσα καὶ διευθετισμένη·
κάλυξ τὰ χείλη, αἱμόβλου ἀνεῳγμένου,

θυμῆρες ἐκρέοντα τοῦ λόγου μέλι·
γῆς ἄστρον ἐξαστράπτον, οὐρανοῦ ῥόδον·
εὔρυθμος ὁ τράχηλος ἐκτεταμένος·
τὰ πάντα τερπνά· κυκλοειδεῖς ὀφρύες·
καὶ πυρσὸν αἰγλήεντα λευκερυθρόχρουν
αἱ τῶν παρειῶν ἐξέπεμπον λαμπάδες·
χιὼν δὲ τἄλλα τοῦ προσώπου τῆς κόρης·
ὁ βόστρυχος χρύσειος· αἱ πλοκαμίδες
ξανθαί, μελιχραί, χρυσοειδεῖς, κοσμίαι,
τεταμέναι τε καὶ πνέουσαι τοῦ μύρου·
ἡ γνάθος, ὁ τράχηλος ἐστιλβωμένα·
τὸ χεῖλος αὐτῆς νέκταρ ἦν ἀπορρέον·
τὸ στέρνον εἶχεν ἄλλην ὀρθρίαν δρόσον·
ἥβης τὸ μέτρον ὡς κυπάριττος νέα·
εὔτορνος ἡ ῥίς· τῶν ὀδόντων ἡ θέσις,
ὡς σύνθεσίς τις μαργάρων λευκοχρόων·
τὰ κυκλοειδῆ τόξα τὰ τῶν ὀφρύων
ὡς τόξον ἦν ἔρωτος ἐγκεχαρμένου·
ἔοικεν ὡς ἔμιξε γάλα καὶ ῥόδα,
καὶ συνδιεχρώσατο, καθὰ ζωγράφος,
ταύτης τὸ σῶμα λευκέρυθρον ἡ φύσις.
Θάμβος γὰρ αὕτη συγχορευούσαις κόραις
λειμῶνος ἐντὸς τοῦ νεὼ Διονύσου.

dulce fundentia mel sermonum: scintillans erat terræ sidus, cœli rosa. Concinnum collum et procerum: nihil non fuit amabile: supercilia belle sinuabantur, et genarum lampades flamma præfulgebant splendida subalbescente simul simulque rubescente: cæteras vultus virginei partes nivis tegebat. Aurea fuit coma; flavi cincinni, mellei, aurei, decori, prolixi et unguenta fragrantia spirantes. Splendebant malæ collumque. E labiis nectar défluebat, et pectus rore madebat matutino. Statura fuit cupresso novæ simili, naso bene tornato, dentibus albis margaritis non imparibus; orbiculares superciliorum arcus arcum esse putaveris Amoris, sed lætabundi. Natura videbatur lacte rosisque commixtis virginis, velut pictor, candidoroseum coloravisse corpus. Puellæ, quæ cum illa simul choros celebrabant in prato Dionysiaci templi, ipsam demirabantur.

Digiti et auricularum extima carbunculis radiabant, fulgentibus ut ignis, auroque puro inclusis. Et auro micabant brachia, auro argentea crura. Adeo præstanti novoque pulchritudinis dono Drosilla virgo fuerat a natura prædita. At postquam rapinarum læti se longo Barbari potui immerserunt ad solis occasum altamque vesperam (Barbarum enim genus ebrietate gaudet, amatque se potui dare et voluptatibus, præsertim cum facili conatu alienas magnasque copias prædatum est), tandem relictis surrexere mensis, ut somno se statim traderent. Igitur Cratylus (hoc enim erat Parthorum regulo nomen) ab ebrietatis perturbatione paulisper recreatus, his Lysimachum satrapam verbis alloquitur : « Vini jam et ciborum cepi» mus satietatem, nec non et ebrietatis » quæ somnum infundit oculis. Demum est » tempus, satrapa, somnum

Οἱ δάκτυλοι δὲ καὶ τὰ τῶν ὤτων ἄκρα
ἄνθρακας εἶχον, ὡς τὸ πῦρ ἀνημμένους,
χρυσῷ καθαρῷ συμπεπηγότας λίθους·
ἤστραπτον αὐτῆς χεῖρες ἐκ τοῦ χρυσίου,
ναὶ μὴν σὺν αὐταῖς ἀργυροσκελεῖς πόδες·
οὕτω τοσαύτην ἡ Δροσίλλα παρθένος
καινὴν ἐπευτύχησε καλλονῆς χάριν.
Ἐπεὶ δὲ μακροῖς τοῖς πότοις ἐνετρύφων
καὶ μέχρι δυσμῶν καὶ βαθείας ἑσπέρας,
οἱ δυσμενεῖς χαίροντες ἐξηρπαγμένων,
(τὸ Βάρβαρον φύσει γὰρ ἐγχαίρει μέθαις,
φιλεῖ δὲ τρυφαῖς ἐκδίδοσθαι καὶ πότοις,
καὶ μᾶλλον εἴπερ εὐχερῶς ἁφαρπάσοι
ἀλλοτρίαν ὕπαρξιν εὑρὸν ἀθρόαν),
ἐκ τῆς τραπέζης ἐξανέστησαν μόλις
ἐφ' ᾧ τραπῆναι καὶ πρὸς ὕπνον αὐτίκα.
Ὁ γοῦν Κρατύλος (τοῦτο γὰρ ὁ Παρθάναξ)
τῆς συνθολούσης μικρὸν ἐκνήψας μέθης
τῷ Λυσιμάχῳ ταῦτά φησι σατράπῃ·
« Ἡμεῖς μὲν ἤδη καὶ πότου καὶ σιτίων
» ἐλάβομεν νῦν, ἀλλὰ καὶ μέθης, κόρον,
» ἣ καὶ τὸν ὕπνον ἐντίθησι ταῖς κόραις·
» καιρὸς τὸ λοιπὸν συγκλιθῆναι, σατράπα,

» πρὸς ὕπνον ἡμᾶς τῇ τρυφῇ δεδωκότας.
» Σὺ γοῦν, ἀληθῶς φιλάγρυπνε καρδία,
» μὴ συγκαθευδήσειας ἐξ ἡμῶν μόνος·
» λαβὼν δὲ σὺν σοὶ καὶ ϛρατοῦ τοὺς ἐκκρίτους,
» ἵππευε κύκλῳ τῶν ἀλόντων δεσμίων,
» τηρῶν, φυλάσσων, προσκοπῶν, διατρέχων,
» μήπως ἀποδράσωσιν ἐν λεληθότι,
» καὶ μακρὸν ἡμῖν ἐμπαράσχοιεν γέλων,
» ἢ καὶ νεανικόν τι δράσαιεν τάχα
» εἰς τοὺς ὑφ' ἡμᾶς ἡδέως κοιμωμένους. »
Τοιοῦτον ἐξ ἄνακτος ἀλγεινὸν λόγον
ὁ Λυσίμαχος σατράπης δεδεγμένος,
ἤδη τὸν ὕπνον ἐκτινάξας μακρόθεν,
εἰς φυλακὴν ἔσπευδε τῶν κρατουμένων.
Ἐπεὶ δ' ὁ λαμπρὸς ἥλιος διφρηλάτης
ἁπανταχοῦ γῆς τὴν ἑαυτοῦ λαμπάδα
ἐξῆπτε, φαιδρὰν δεικνύων τὴν ἡμέραν,
ἀνίσταται μὲν εὐθέως ὁ Παρθάναξ,
καὶ Λυσίμαχον τῆς φυλακῆς θαυμάσας,
λαμπροῖς τὸν ἄνδρα δεξιοῦται τοῖς λόγοις,
πολλὰς πρὸς αὐτὸν ἐκτελῶν ὑποσχέσεις·
ναὶ μὴν σὺν αὐτῷ καὶ τὸ τῆς λείας πλέον
αὐτοῖς παρασχεῖν τοῖς ὑπ' αὐτὸν ἐξέφη·

» post has delicias carpere. O cor vigilacissi-
» mum, tibi omnium uni nunc non erit dor-
» miendum : at, delectis omni ab ordine com-
» pertæ fortitudinis militibus, cum eis cap-
» tivos circumequita servans, observans, in-
» vigilans, discurrens, ne forsan clam au-
» fugiant nosque faciant nimis ridiculos, vel
» quid audacius moliantur nostros adversus
» milites dulci pressos sopore. » Auditis satrapa Lysimachus reguli non jucundis vocibus, jam excusso somnolentiæ torpore ad custodiam se captivorum adcinxit. At postquam fulgidus sol curru invectus totas undique terras lampade illustravit, splendidum ostendens diem, extemplo consurgit Parthorum regulus, et Lysimachum curæ miratus egregiæ, honorificis satrapam verbis excipit, multa ipsi pollicitus, et insuper addens majorem quoque prædæ partem illius datum iri militibus :

» nam qui majores quam cæteri labores tole» raverunt, majoribus quam cæteri donis af» ficere æquum est. » His dictis e lectulo descendit, et reliqui statim consurgunt Barbari, jam ad abeundum alacres. Atque coactis dispersim vagantibus capellis et bobus, captivisque simul, recta in patriam tendunt iter, jubente duce Cratylo : quo eum pervenissent quinta post luce, captivos in vincula conjecerunt, datos in societatem captivis aliis miseris, qui, prædationum anteriorum pars eximia, jam pridem in carcere gemebant. Conjecti in custodiam et humi jacentes, genibusve innixi, crudele lugebant fatum, illos solos felices clamantes, laudantesque solos, quos gladius peremerat, et pro beneficio cædem illis fuisse dicebant : sæpe enim animus immensis oppressus doloribus vitam fastidit. Drosillam autem quam misere infortunateque atrox Fortuna divulserat

» τοὺς γὰρ πονοῦντας ὑπὲρ ἄλλους τί πλέον
» καὶ δωρεῶν χρὴ δεξιοῦσθαι μειζόνων. »
Τοσαῦτα λέξας, ἐξανέστη τῆς κλίνης·
ἀνίσταται δὲ καὶ τὸ Βάρβαρον φῦλον
οὐ βραδέως ἕτοιμον ἀνθυποστρέφειν.
Καὶ δὴ συνάξαν τὰ διεσκορπισμένα,
τὴν αἶγα, τὴν βοῦν, τοὺς ἁλόντας δεσμίους,
αὐτῇ κελεύσει τοῦ κρατοῦντος Κρατύλου,
ἰθυτενῶς ἤλαυνε πρὸς τὴν πατρίδα.
Φθάσαντες οὖν ἐκεῖσε πεμπταίῳ φάει,
εἰς φυλακὴν ἔδοντο τοὺς κρατουμένους,
μίξαντες αὐτοὺς τοῖς προεγκεκλεισμένοις
ἐκ πρωτολείας αἰχμαλώτοις ἀθλίοις·
οἳ καὶ φυλακῆς ἔνδον ἐμβεβλημένοι,
χαμαὶ πεσόντες καὶ κλιθέντες εἰς γόνυ,
τὴν σφῶν ἀπωδύροντο δυσμενῆ τύχην,
μόνους ἐμακάριζον, αἴνων ἠξίουν
οὓς ἔργον εἰργάσατο τὸ ξίφος φόνου,
τούτων καλοῦντες τὴν σφαγὴν εὐεργέτην·
ψυχὴ γὰρ ἀνέραστός ἐστι τοῦ βίου
λύπαις ἀμέτροις ἐμπεσοῦσα πολλάκις.
Τὴν δὲ Δροσίλλαν δυστυχῶς, δυσδαιμόνως
διαζυγεῖσαν ἐκ παλαμναίας τύχης

τοῦ μέχρι φωνῆς νυμφίου Χαρικλέος
ἡ τῆς Χρυσίλλης εἶχε γυναικωνῖτις·
γυνὴ γὰρ ἡ Χρυσίλλα Πάρθου Κρατύλου.
Ο γοῦν Χαρικλῆς ἔνδον ἐγκεκλεισμένος
τῆς φυλακῆς, ὡς εἶπον, ἤρξατο ςένειν.
Καί· « Τίς Ερινὺς, Ζεῦ Ολύμπιον κράτος,
» Δροσίλλαν ἐξήγαγεν ἐκ τῆς ἀγκάλης
» τῆς τοῦ τοσαῦτα δυςυχοῦς Χαρικλέος; »
εἰπὼν Χαρικλῆς, μεῖζον ἀντεκεκράγει·
» Ὤμοι, Δροσίλλα! ποῦ πορεύῃ; ποῦ μένεις;
» ποίαις ἐτάχθης δουλικαῖς ὑπουργίαις;
» ἀνῃρέθης πρός τινος θηρῶν ἀγρίων;
» ἢ ζῇς ἀμυδρῶς, ὡς σκιὰ κινουμένη;
» κλαίεις; γελᾷς; ὄλωλας; ἐῤῥύσθης φόνου;
» χαίρεις; θλίβῃ; δέδοικας, οὐ φοβῇ ξίφος;
» ἀλγεῖς; κροτῇ; πέπονθας, οὐ πάσχεις φθόρον;
» τίνος μετέρχῃ λέκτρον ἀρχισατράπου;
» ποῖος τίς ἐχθρὸς νῦν φανείς σοι δεσπότης
» ἐκ δακτύλων σῶν τὸν κρατῆρα λαμβάνει;
» ἢ πού σε πολλῆς ἐμφορούμενος μέθης
» τυχὸν πατάξει βαρβαρώδει κονδύλῳ
» πταίουσαν, οὐχ ἑκοῦσαν· ὤμοι τῆς τύχης!
» ἢ καὶ Κρατύλος οὗτος ὀφθαλμὸν λίχνου

a Charicle, sponso quidem, sed nomine tenus, Chrysillæ, Cratyli Parthorum reguli conjugis, gyneceo tenebatur. Charicles igitur, quo dixi modo carcere clausus, ingemere cœpit: « Jupiter, Olympi regna-
» tor, quæ Erinnys Drosillam ab ulnis
» eripuit Chariclis infelicissimi? » Moxque altius etiam inclamans: « Hei mihi! Drosilla,
» quo vadis? ubi manes? quibus damnata
» es servilibus operibus? cujus laniatu inte-
» rempta belluæ? an languidam trahis vi-
» tam, tenuis ad umbræ modum? lugesne?
» ridesne? periistine? Salvane es a cæde?
» gaudesne? mœstane es? timesne vel non
» times gladium? dolesne? verberarisne?
» passane es, patirisne vim? Cujus lectum su-
» biisti archisatrapæ? Quis hostium, jam tibi
» factus herus, e manu tua poculum prehen-
» dit? Ah! forte multo impletus mero pugnis
» te cædet barbaris, peccantem, sed invitam.
» Heu, fatum crudele! vel Cratylus ille devo-
» rantes oculos

» injiciet tibi, et nostris invidebit nuptiis?
» Sed antequam te potiatur, Chrysillæ zelo-
» typia poculo te necabit lethali. O nate Jo-
» ve, o Bacche, cur dudum Drosillæ nuptias
» mihi vicissim pollicitus es, cum multis olim
» pro Drosilla sacrificiis ornarem te malorum
» prænuntium? Et tu, Drosilla, servasne in
» animo memoriam Chariclis amici, lugen-
» tis, plorantis, captivi? Oblita es profectò
» Bacchi, et fidei quam, parario Deo, Cha-
» ricli dederas, in hisce quæ te premunt ne-
» cessitudinibus, captivitate et infortunio. »
Talibus Charicles Drosillam alloquebatur assidue vocibus multa gemens, cum illi ante oculos se offert juvenis optimus, dulciloquus, adspectu nobilis, socius captivitatis, carceris ejusdem habitator, hospes, qui Charicli proprius adsidens, ægrum æger ipse solari conabatur: « Charicles, ait, « desine tandem querelarum. Tecum
» fabulari me sinas, vicissimque responde,

» ἐπεμβαλεῖ σοι, καὶ φθονήσει τοῦ γάμου·
» πρὸ τοῦ τυχεῖν δὲ, τῆς Χρυσίλλης ὁ φθόνος
» διαφθερεῖ σκύφῳ σε δηλητηρίου.
» Ὦ τοῦ Διὸς παῖ, Διόνυσε, πῶς πάλαι
» τὸν τῆς Δροσίλλης ἀνθυπέσχου μοι γάμον,
» ἐπεί σε πολλαῖς ὑπὲρ αὐτῆς θυσίαις
» ἐδεξιούμην τὸν κακάγγελον τότε;
» Ἆρ' οὖν ἔχεις ἔννοιαν ἐν τῇ καρδίᾳ
» καὶ σὺ, Δροσίλλα, τοῦ φίλου Χαρικλέος,
» θρηνοῦντος, οἰμώζοντος, ἐγκεκλεισμένου;
» Ἦ μὴν λέλησαι τοῦ θεοῦ Διονύσου,
» καὶ τῆς δι' αὐτοῦ πρὸς Χαρικλῆν ἐγγύης,
» ὡς τῶν ἀναγκῶν ἐμποδὼν σοι κειμένων,
» τῆς αἰχμαλώτου συμφορᾶς καὶ τοῦ πάθους. »
Οὕτω Χαρικλεῖ πρὸς Δροσίλλαν ἀσχέτως
πολύστονον πλέκοντι τὴν τραγῳδίαν
ἐφίσταταί τις ἀγαθὸς νεανίας,
τὸν φθόγγον ἡδὺς, εὐγενὴς τὴν ἰδέαν,
συναιχμάλωτος, συμφυλακίτης, ξένος,
καὶ συγκαθεσθεὶς πλησίον Χαρικλέος
παρηγορεῖν ἔσπευδε συμπεπονθότα,
λέγων· « Χαρίκλεις, λῆξον ὀψὲ τῶν γόων·
» ἐμοὶ λόγον δὸς, ἀνταπόκρισιν λάβε,

» ὡς ἂν τὸ πλεῖςον τῆς ἀθυμίας βάρος
» ἐκ προσλαλιᾶς κουφίσῃς αὐθαιρέτου·
» λύπης γάρ ἐςι φάρμακον πάσης λόγος,
» ψυχὴ δὲ πάντως οὐκ ἂν ἄλλως ἰσχύσοι
» πῦρ ἐξαναφθὲν θλίψεων κατασβέσαι,
» εἰ μὴ πρὸς ἄλλον ἐξαγάγῃ τὸ θλίβον,
» παρηγορεῖν ἔχοντα τοὺς λυπουμένους. »
» Καλῶς λέγεις, Κλέανδρε· » Χαρικλῆς ἔφη·
» πλὴν ἀλλὰ γοῦν πρόσρησις ἡ σὴ καὶ μόνη
» ἀρκεῖ τὰ πολλὰ τῶν παθῶν μου κοιμίσαι.
» Ἐπεὶ δὲ καὶ νὺξ ἀντεπῆλθεν, ὡς βλέπεις,
» καὶ νυκτὶ πεισθῆναί με, φιλότης, πρέπει,
» ἔα με λοιπὸν ἠρεμοῦντα συγκλίναι,
» εἴ πως βραχὺν τὸν ὕπνον ὀφθαλμοῖς λάβω
» λήθην μικρὰν σχὼν τῶν ἐμῶν παθημάτων.
» Ἐς αὔριον δὲ, νυκτὸς ἐκχωρησάσης,
» ἐπακροάσῃ συμφορῶν Χαρικλέος. »
Οὕτω τραπέντος πρὸς ὕπνον Χαρικλέος,
Δροσίλλα πικρῶς ἐςέναξεν ἐκ βάθους
ἐν παρθενῶνι τῆς Χρυσίλλης κειμένη·
οὐ γὰρ κατασχεῖν ἠδυνήθη τὴν κόρην
νήδυμος ὕπνος ἐκχυθεὶς κατ' ὀμμάτων·
« Ψυχὴ φίλη, » λέγουσα « Χαρίκλεις ἄνερ,

» ut non invito conloquio levius tibi fiat » doloris onus. Est enim sermo mœstitiæ » remedium, animusque non aliter possit » ardentem doloris ignem restinguere, quam » si alteri mala aperiat qui dolentem valeat » consolari. » Cui Charicles : « Bene mones, » Cleander; et jam sola hæc adlocutio tua non » minimam malorum partem sopivit. Sed, » vides, nox præcipitat; et, amice, me » nocti credere æquum est. Sinas ergo mea » me placide reclinare membra, si forte » brevis oculos quiete tegat somnus, parva- » que dolorum fruar oblivione. Cras au- » tem, ubi nox diei decesserit, disces Cha- » riclis infortunia. » Ergo Charicles somnos petivit. Drosillæ interea in cubiculo Chrysillæ recubanti amarus medullis erupit gemitus : nam dulcis sopor puellæ oculis superfusus erat, nequicquam. « O cara » anima ! » inquit « o Charicles conjux !

» o conjux Charicles, at nomine tenus! tu
» quidem in carcere dormis, Drosillæ ne
» minime quidem memor, sed oblitus ob
» mala præsentia, et ejus qua alteri alter
» sponte jungimur fidei, et numinis quod
» olim me tibi Charicli propriam dica-
» vit, tantum quidem pollicitum. At Dro-
» silla oculos referta lacrymis multa propter
» Chariclem ingemiscit, et te culpat et
» prius Fortunæ sævitiam, quod con-
» jugis tibi sponsæ non serves memoriam.
» Sævo enim adeo contra te, Charicles,
» duello pugnat atrox Fortuna, quæ prius
» contra me Drosillam virginem pugnavit,
» ut indissolubilem nostram utriusque copu-
» lam divellat rescindatque bifariam. Quid
» enim, invida Fortuna, non satiata es præ-
» teritarum varietate calamitatum et his
» quibus nunc premor angustiis, sed me
» procul a Charicle seclusam tenes? Car-
» ceris tenebræ mihi luce cariores ipsa,
» si cum Charicle includi me jussissent, et
» heri cum ipso carceris ostium subiissem!

» ἄνερ Χαρίκλεις, μέχρι γοῦν φωνῆς μόνης,
» σὺ μὲν καθυπνοῖς τῆς φυλακῆς εἰς μέρος
» Δροσίλλαν εἰς νοῦν οὐδὲ μικρὸν ἐμφέρων,
» ἀλλ' ἀμελήσας ἐκ κακῶν προκειμένων
» καὶ τῆς καθ' ἡμᾶς ἐγγύης αὐθαιρέτου,
» καὶ τοῦ Θεοῦ με τοῦ συνάψαντος πάλαι
» σοὶ τῷ Χαρικλεῖ, πλὴν ὑποσχέσει μόνῃ·
» ἀλλ' ἡ Δροσίλλα πολλὰ τοῦ Χαρικλέος
» κατασϛενάζει δακρύων πληρουμένη,
» καὶ μέμφεταί σε, καὶ πρὸ τοῦ τὰ τῆς Τύχης,
» ἀμνημονοῦντα τῆς προηγγυημένης.
» Καὶ γὰρ τοσοῦτον ἡ παλαμναία Τύχη
» ἀντισϛρατεύει δυσϛυχῶς σοι, Χαρίκλεις,
» ἢ καὶ πρὸ σοῦ μοι τῇ Δροσίλλῃ παρθένῳ,
» ὡς τὴν ἀδιάῤῥηκτον ἀλληλουχίαν
» ἡμῶν διασπᾷν καὶ μερίζειν εἰς δύο.
» Τί γὰρ, Τύχη βάσκανε, μὴ κόρον δέχῃ
» τῇ προφθασάσῃ ποικίλῃ περισϛάσει
» καὶ τῇ κατασχούσῃ με νῦν τιμωρίᾳ,
» ἀλλ' ἐκτὸς ἐγκλείεις με τοῦ Χαρικλέος;
» Ὑπὲρ τὸ φῶς μοι τῆς φυλακῆς τὸ σκότος
» εἰ συγκαθῆσθαι Χαρικλεῖ κατεκρίθην,
» καὶ χθὲς σὺν αὐτῷ τὴν φυλακὴν εἰσέδυν.

» Ἐχρῆν, Χαρίκλεις, κἂν τοσοῦτον ἡ Τύχη
» ἀντιςρατεύῃ, καὶ διασπᾷ τοὺς δύο;
» καὶ μηχανᾶται συμμερίζειν εἰς τέλος
» τοὺς εἰς ἓν ἐμπνέοντας ἀλληλεγγύως,
» μὴ καταπίπτειν, μηδὲ λήθῃ διδόναι,
» ἀλλὰ πρὸς αὐτὴν τὴν ςρατεύουσαν Τύχην
» ἀλκὴν μεγίςην ἐνδιδύσκεσθαι πλέον.
» Σὺ δ' ἀλλ' ἐφυπνοῖς, καὶ Δροσίλλαν οὐ ςένεις·
» ἡ δὲ ςενάζει, καὶ θεοὺς μαρτύρεται,
» ὡς ἀμελήσει μηδαμῆ Χαρικλέος.
» Κισσὸς γὰρ εἰς δρῦν δυσαποσπάςως ἔχει·
» ἐθίζεται γὰρ συμπλοκαῖς ταῖς ἐκ νέου,
» καὶ σωματοῦται, καὶ δοκεῖ πεφυκέναι
» ἓν σῶμα, διπλῆν τὴν ἐνέργειαν φέρον·
» οὕτω Δροσίλλα πρὸς Χαρικλῆν νυμφίον
» ἓν σῶμα καὶ φρόνημα καὶ ψυχὴ μία·
» κἂν χθὲς, τραπέζης κειμένης, ὁ Κρατύλος
» ἔκδηλος ἦν ἔρωτα δεινὸν ἐκτρέφων,
» καὶ βάσκανόν μοι βλέμμα δεικνύειν θέλων.
» Ὤμοι, Χαρίκλεις, κλῆσις ἡ φιλητέα,
» πῶς αἱ καθ' ἡμᾶς συμφοραὶ σχοῖεν τέλος;
» Ὡς νῦν ἐγὼ, σοῦ κἂν διῄρημαι, κρίνω
» μικρὸν παρηγόρημα τὸ βλέπειν μόνον.

» Oportuit, Charicles, etsi Fortuna tam va-
» lide nos aggrediatur, et alterum divellat ab
» altera, coneturque omnino nos distrahere,
» qui data vicissim fide in unum conspirave-
» ramus; oportuit non cedere malis nec obli-
» vioni mentes tradere, sed contra ipsam
» bellantem Deam fortiores ire et audentio-
» res. At tu dormis, nec Drosillam luges,
» me tua longam gemente noctem, et testante
» Deos nunquam me fore Chariclis imme-
» morem. Hedera quercui tenacibus adhæret
» brachiis; longa enim consuetudine et nexu
» diuturno in ipsius fere corpus convertit,
» et unum e duobus fieri videtur, du-
» plici vi præditum : sic Drosilla cum
» Charicle sponso corpus unum habet, ani-
» mum unum unamque mentem : et tamen
» heri, positis mensis, Cratylus funestum
» alere se amorem non celavit, diro me cu-
» piens fascinare oculo. Hei mihi, Charicles!
» o Chariclis dulce nomen! quæ finis erit
» nostris concessa malis? A te nunc se-
» parata, parvum duco solatiolum videre

» saltem quo es inclusus carcerem, parvum
» et nosse ubi nunc agis, ubi dormis, ubi
» sedes. Ah ! excute somnum, dormire si
» potis es. Drosillam reputa, quæ te luget,
» deflet te : fle cum ipsa, cum ipsa geme,
» sis cum ipsa mœstus. Profecto, Chari-
» cles, duro non es robore natus, et te ge-
» mere credo plorareque, nec per mediam
» noctem dormire ob plurimam Drosillæ
» virginis memoriam. Huc ades, Somne,
» meque totam habe, si forsan dulce vi-
» sum mihi meum Chariclem ostendat.
» Etenim sæpe qui cupiunt vel amant,
» cum se interdiu videre non possint, in
» somnis conloquuntur et una versantur. »
Dum illas gemitus inter et suspiria funderet loquelas Drosilla virgo, captivis illuxit dies in carcere misere conclusis, adeo vasto profundoque, ut densissimæ tenebræ diei vincerent lucem et obscurarent.

» καὶ τὴν φυλακὴν ἧς κατεκλείσθης ἔσω·
» ναὶ τοῦτο μικρὸν, καὶ τὸ πάντως εἰδέναι
» ποῦ νῦν διάγεις, ποῦ καθεύδεις, ποῦ κάθῃ!
» Ἄφες τὸν ὕπνον, εἴπερ ὑπνώττειν ἔχεις·
» γνῶθι Δροσίλλαν· σὲ ϛενάζει, σὲ κλαίει·
» σύγκλαιε, συϛέναζε, συγκατηφία.
» Ἤπου, Χαρίκλεις, οὐκ ἀπὸ δρυῶν ἔφυς,
» καὶ σὲ ϛενάζειν ἐννοῶ καὶ δακρύειν,
» καὶ μὴ διυπνώττειν σε νυκτὸς ἐν μέσῳ,
» πολλὰ Δροσίλλης παρθένου μεμνημένον.
» Ὦ δεῦρο! μακρὸν, Ὕπνε, σύγκατεχέ με,
» εἴ που φανεὶς ὄνειρος ἐγκαθηδύνει,
» ἐμοὶ παριϛῶν τὸν φίλον Χαρικλέα·
» οἱ γὰρ ποθοῦντες ἢ φιλοῦντες πολλάκις
» θέλουσιν, οὐ βλέποντες ἀλλήλους ὕπαρ,
» ἐν τοῖς ὀνείροις συλλαλεῖν καὶ συμπνέειν. »
Οὕτω λεγούσης τῆς Δροσίλλης παρθένου,
καταϛεναζούσης δὲ καὶ γοωμένης,
τοῖς αἰχμαλώτοις ἀντεπῆλθεν ἡμέρα,
τοῖς ἐν φυλακῇ δυϛυχῶς κεκλεισμένοις,
κἂν καὶ τοσαύτης ὡς βαθύτατον σκότος
κατακρατοῦν ἦν καὶ ζοφοῦν τὴν ἡμέραν.

ΤΩΝ

ΚΑΤΑ ΔΡΟΣΙΛΛΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Της ἡμέρας δὲ θᾶττον ἀντιλαμψάσης,
καὶ τοῦ γίγαντος καὶ φεραυγοῦς ἡλίου
ἐκ τῶν ςενωπῶν τῆς φυλακῆς νυγμάτων
ἀκτῖνα μικρὰν ἐμβαλόντος τοῖς ἔσω,
εὐθὺς Χαρικλῆς ἐξανίςαται μόνος·
ἰδὼν δὲ πάντας βαθέως κοιμωμένους,
βραχὺ ςενάξας ἐκ βάθους τῆς καρδίας,
ἔφησεν· « Ἄνδρες συμπεφυλακισμένοι,
» ἐοικὸς ὑμῖν ἐςὶν ὑπνοῦν εἰσέτι·
» ὧν καὶ γὰρ οὐ κατέσχε καρδίας πλάτος
» τὸ δριμὺ φίλτρον, οὐδ' ὁ τοῦ πόθου πόνος,
» ὧν οὐ κατεκράτησε τῆς ψυχῆς ἔρως,
» τί καινὸν, εἰ τὸν ὕπνον ἀσπάζοισθέ μοι
» ἐκ νυκτὸς ἀρχῆς ἄχρι φωτὸς ἡλίου;
» Ὁ γὰρ Ἔρως εἴωθε νύκτωρ τὸ πλέον

DROSILLÆ ET CHARICLIS

RERUM

LIBER SECUNDUS.

Attamen non multo post luce splendescente, et sole gigante lucifero per angustas carceris rimas tenuem usque in interiora radium immittente, continuo Chaficles surgit ex omnibus unus, quos alto cernens demersos somno, parvumque imis e præcordiis gemitum trahens, « Viri, » inquit « vinculorum socii, vos adhuc dor-
» mire par est: quórum enim corda non in-
» vasit acer amor, nec sollicita cupido, quo-
» rum non regnat animorum filius Veneris,
» quid mirum si somno indulgetis a prima
» noctis umbra usque ad solis jubar? Amor
» enim noctu solet plerumque

» grandioribus alis amatorum illabi animis,
» tunc per hæc quietis otia ipsi prorsus pa-
» tentibus. Oh! utinam, Amor tam strenuis
» prædite viribus, homunculos humi reptan-
» tes ab igne tuo siveris esse immunes! sed
» cum uras omnes, cur non das omnibus esse
» felicibus, at multos multis premis dolori-
» bus, donec desiderium potiri denique pos-
» sint? » Sic Charicles secum summissa voce gemens mittebat rivos lacrymarum: gaudet enim ploratibus Amor, miseris incumbens gravior pectoribus. At lacrymans Cleandrum non latuit, qui statim surgens ad eam carceris partem accessit, ubi Charicli solum erat pro lectulo; et « Salve, ait, hospes, captivita-
» tisque socie. Narra quæ es pollicitus, Cha-
» ricles, ærumnas tuas laboresque tuos. Hic
» te propter sedens, aures præbebo histo-
» riæ luctuosissimæ. Etenim temet curis op-
» pressum levabis ipse, dicens quo pereas;
» meaque Cleandro mihi infortunia facies

» ἀναπτεροῦσθαι τοῖς ἐρῶσιν εἰσρέων,
» ψυχῆς ἐρῶντος ἐνσχολαζούσης τότε
» ὅλης ἐκείνῳ δῆθεν ἀνακειμένης.
» Ὡς ὤφελες γοῦν εὐσθενῶς ἔχων, Ἔρως,
» ποιεῖν ἐρᾷν μὴ τοὺς χαμαὶ κινουμένους!
» ποιῶν δὲ πάντως, καὶ τυχεῖν πῶς οὐ δίδως,
» πολλῶν δὲ πολλοὺς ἀξιοῖς παθημάτων,
» ἕως τυχεῖν γένοιτο τοῦ ποθουμένου; »
Οὕτω Χαρικλῆς, καθ' ἑαυτὸν ἠρέμα
θρηνῶν, ὑπεστάλαζε ῥεῖθρα δακρύων·
πολύδακρυς γὰρ γίνεται πάντως Ἔρως
ψυχαῖς ἐπαχθὴς ἐμπεσὼν τεθλιμμέναις·
Ἀλλ' οὐκ ἔλαθε τὸν Κλέανδρον δακρύων.
Προσέρχεται γοῦν ἐξαναστὰς εὐθέως
ὅπου Χαρικλῆς εἶχε τὴν γῆν ὡς κλίνην,
καὶ « Χαῖρε, » φησὶ « συμφυλακῖτα ξένε.
» Λέγοις ἂν ἡμῖν τὰ προϋπεσχημένα,
» τὰς σὰς, Χαρίκλεις, συμφορὰς καὶ τοὺς πόνους·
» ἐνταῦθα δ' αὐτὸς, συγκαθεσθεὶς ἐγγύθεν,
» τὰς ἀκοὰς διδοῖμι τῇ τραγῳδίᾳ.
» Καὶ γὰρ σὺ σαυτὸν κουφιεῖς στεναγμάτων
» ἐμοὶ παριστῶν δῆλα τὰ θλίβοντά σε,
» καὶ τὸν Κλέανδρον τὸν συνεγκεκλεισμένον

» ἐλαφρυνεῖς με τῶν ἐμῶν παθημάτων·
» οὐ γὰρ μόνος σὺ τὴν φυλακὴν εἰσέδυς.
» Ἢ καὶ πρὸ ταύτης αἰχμάλωτος ἐσχέθης,
» ψυχὴν ἔχων ἔρωτι πυρπολουμένην;
» οὐδ' ὁ Κλέανδρος ἀνέραστος ἐσχέθη,
» οὐ τὴν φυλακὴν δυστυχῶς προεισέδυ
» ἐρωτικῶν ἄμοιρος ἐννοημάτων,
» καὶ συμφορῶν ἄγευστος, αἷς παίει Τύχη
» ἐρωτικοῖς με συμπλακέντα δικτύοις.
» Ἀλγεῖς; συναλγῶ. Δακρύεις; συνδακρύω.
» Ποθεῖς; ποθῶ, καὶ ταῦτα, καλὴν παρθένον,
» Καλλιγόνην μοι τὴν προεξηρπαγμένην. »
» Κλέανδρε, σῶτερ τληπαθοῦς μοι καρδίας, »
ἔφη Χαρικλῆς » τίς σε τῶν Ὀλυμπίων
» θεῶν ἀφῆκεν εἰς ἐμὴν εὐθυμίαν;
» Λέγοις τὰ σαυτοῦ, ταὐτοπάθειαν λέγοις.
» Λέγειν χρεὼν σε τὸν προεγκεκλεισμένον,
» ἔπειτα κἀμὲ συμπεφυλακισμένον. »
» Ἐγὼ, Χαρίκλεις, Λέσβον ἔσχον πατρίδα·
» σεμνῶν προῆλθον κοσμίων φυτοσπόρων,
» μητρὸς Κυδίππης καὶ πατρὸς Καλλιστίου.
» Σύνεγγυς ἦν μοι παρθένος Καλλιγόνη,
» τηρουμένη μὲν ἀῤῥένων θεωρίας,

» leviora, hujus tecum participi carceris. » Non enim solus huc fuisti conjectus. At» que si ante hæc vincula tulisti alia, amoris » flamma præcordia torridus, nec Cleander » fuit amore vacuus, nec carcerem miser in» gressus est te prior, amatoriarum expers co» gitationum, aut ingustatis ærumnis quibus » ferit Fortuna Amoris irretitum te laqueis. » Doles? condoleo. fles? adfleo tibi. Cupis? » cupio, et virginem quidem pulchram, Cal» ligonen mihi jam ante præreptam. » Cui Charicles : « Cleandre, miseræ mihi ser» vator animæ, Olympiorum quis te Deo» rum misit qui me recreares? Sed nar» res tua; mala narres similia. Narrare te » priorem æquum est qui prior inclusus in » carcere fuisti; me deinde, carceris tui so» cium. » — » Lesbos, o Charicles, mihi est » patria. Ab illustribus ornatisque originem » parentibus duco, matre Cydippe, patre» que Callistio. Vicinam habui virginem » Calligonen, quæ longe a virorum oculis

» in interiore ædium parte seclusa fuit.
» Quam esset pulchra (ipse enim videre non
» poteram) ex hujus didici famulis. Fateri
» me talia non pudet, te palam, Charicles,
» qui simili morbo laboras. Donis dextro-
» que internunciorum usus ministerio, tan-
» dem ha! tandem vidi Calligonen simpli-
» cem munditiis e fenestra exstante corpore
» prospectantem. Ut vidi, ut me cepit vir-
» guncula, non minus formosa quam dudum
» fama prædicaverat. Papæ! per Amoris ar-
» ma, ah! per Gratias, dixisses eam intui-
» tus, ipse tu, Charicles, si non coram
» Drosilla fuisset, matre Luna, Soleque
» patre natam. Spectantium corda vertebat
» in lapides; transeuntes crebrioribus ur-
» gebat telis; non cernebat cernentes præ
» modesta simplitate, sed omnes incendebat
» pulchritudine. Erat Calligone puella, et
» tenera, et virgo: ipsos, quos longa ætas
» fecerat lentos et inertes, trahebat senes
» conspectu suo ad amorem, non juvenes
» tantum alacres et fervidos.

» μυχαιτάτῳ δὲ θαλάμῳ φρουρουμένη.
» Ταύτης τὸ κάλλος (οὐ γὰρ ἴσχυον βλέπειν)
» ἐκ τῶν ὑπ' αὐτὴν ἐξεμάνθανον κλύων.
» Οὐκ αἰσχύνη μοι ταῦτα, Χαρίκλεις, λέγειν
» πρὸς τὸν νοσοῦντα ταυτοπαθῆ μοι νόσον.
» Ἐπεὶ δὲ δώροις δεξιῶν δι' ἀγγέλων
» Καλλιγόνην κατεῖδον ὀψὲ καὶ μόλις
» ἐκ θυρίδων ἄπλαστον ἐκκρεμωμένην,
» ταύτης ἑάλων ἁπαλῆς οὔσης ἔτι,
» οὕτως ἐχούσης τοῦ προσώπου τῆς θέας,
» ὡς μακρὰς ἐξήγγειλε τῆς φήμης λόγος.
» Βαβαί! μὰ τὴν Ἔρωτος ὁπλοποιΐαν,
» φεῦ! φεῦ! μὰ τὰς Χάριτας, ἰδὼν ἂν ἔφης,
» καὶ σὺ, Χαρίκλεις, τὴν Δροσίλλαν οὐ βλέπων,
» μητρὸς Σελήνης, πατρὸς Ἡλίου τέκνον.
» Τὰς τῶν ὁρώντων ἐξελίθου καρδίας,
» ὁδοιποροῦντας ἐξετόξευε πλέον,
» οὐκ ἔβλεπε βλέποντας ἐξ ἀπλαστίας,
» ἀλλ' ἔφλεγε ξύμπαντας ἐξ εὐμορφίας.
» Παῖς ἦν ἐκείνη, παῖς ἁπαλὴ, παρθένος·
» πλὴν δυσκινήτους ἐκ χρόνων ἀμετρίας
» γέροντας εἷλκε πρὸς ἔρωτα τῇ θέᾳ,
» οὐ πῦρ μόνους πνέοντας εὐζώνους νέους.

» Ἔρωτος ἦν ἄγαλμα, τέκνον Ἡλίου,
» φέρουσα πατρὸς ἐμφέρειαν ἡλίου,
» ἢ καὶ πρὸς αὐτὸν ἀντερίζουσα πλέον.
» Ἔμελλες, ὦ γέννημα θηρίων Ἔρως,
» ἐμὴν πατάξαι καὶ σπαράξαι καρδίαν·
» γάλα λεαίνης ἐξεμύζησας ἄρα,
» καὶ μαςὸν ἄρκτων ἐξεθήλασας τάχα.
» Ὡς εἶδον οὖν, ἔπαθον εἰς ψυχὴν μέσην·
» ἔτρυχεν, ἐςρόβει με δυςυχὴς πόθος·
» ἐβαλλόμην, ἔπιπτον, ἐσπαρασσόμην·
» οὐ γὰρ συνεῖχεν ἄγριος πόθος μόνον,
» (ἢ μᾶλλον αὐτὸς ἦν κατατρύχων Ἔρως)
» ςοργὴ δὲ πολλὴ παιδικῆς ἀπλαςίας
» καὶ τῶν ἐκείνης οἶκτος αἰωρημάτων.
» Ἦν, εὐσθενὴς ὢν ἐκ φιλήματος μόνου,
» ἀντιςρατεύειν ταῖς Ἔρωτος σφενδόναις·
» οὐκ ἤθελον σχεῖν ἐξ ἐκείνης τῆς κόρης
» οὐδὲν πλέον τι τοῦ φιλήματος τότε,
» καὶ τοῦτο φίλτρον πάντως ἐξ οἴκτου μόνου.
» Τοίνυν προσεῖπον· οὐδὲ γὰρ ἠνεσχόμην·
» Ἔργου πάρεργον μεῖζον, ὦ κόρη, βλέπω·
» ςόμα φιλεῖν σοῦ μεῖζον ἢ λείχειν μέλι.
» Ἀλλ' ἐθρονήθη καὶ μικροῖς ἡ παῖς λόγοις·

» Amoris erat imago, Solis filia, Soli similis
» patri, vel cum illo decertatura. Destinave-
» ras, Amor, ferina proles, meum verberare
» cor et discerpere : profecto, lac leænæ su-
» xisti; aut forte admoverunt ursæ ubera.
» Ut ergo vidi, ut media doluerunt præcor-
» dia ! Conterebat me versabatque huc illuc
» triste desiderium. Verberabar; concide-
» bam; dilacerabar. Non enim duntaxat me
» tenebat crudele desiderium, sed potius ipse
» Veneris filius me torquebat, et multus
» animo inerat amor puellaris simplicitatis,
» multaque recordatio miserationis in hoc e
» fenestra prospectu. Poteram, sumtis ex
» basio unico viribus, Dei jaculationibus
» resistere; volebamque a virgine nihil ba-
» sio majus tunc capere, hocque amato-
» rium donum ejus misericordiæ duntaxat
» acceptum referre. Hanc ergo sic allocutus
» sum (tenere enim me non potui) : *O*
» *virgo, aliquid cerno extra opus ipso me-*
» *lius opere : os tuum osculari dulcius*
» *quam mel lingere.* Conturbata fuit valde
» puella paucis his verbis,

» quippe quæ amoris adhuc erat inex-
» perta. Continuo velavit faciem (hei
» mihi ! quantum expavescebam !) et sub-
» ridens servularum genas percutiebat. Pu-
» dor enim eam angebat, nesciebatque quid
» ageret puella, parum per ætatem pru-
» dens, et tenellula. Virgines enim quæ se
» conspici posse non putant pallescere so-
» lent, si forte quis ipsis improvisus adsit,
» magis etiam si intempestivius conloqui au-
» deat. Hinc regrediens ad propria tecta
» gradum, lectulo me composui, valido
» incensus amoris igne (per oculos enim
» Amor ad intima delapsus præcordia, non
» hic consistit, latius incendium commovere
» cupiens, sed membris omnibus ignem im-
» plicat totum pererrans), et talia mecum
» voce summissa querebar : Metuat nemo
» venenata acutaque desiderii tela : phare-
» træ enim plenæ sagittis totum in nos pon-
» dus consumsit amens Amor. Expavescat
» nemo alarum strepitum : Amor enim,
» velut in visco delapsus,

» ἐρωτικῶν γὰρ ἀδαὴς ἦν εἰσέτι.
» Εὐθὺς μὲν οὖν κέκρυπτο (φεῦ μοι τῆς φρίκης!)
» καὶ τὰς παρειὰς τῶν ἑαυτῆς δουλίδων
» ἔτυπτεν ἐγγελῶσα· καὶ γὰρ αἰσχύνη
» κατέσχεν αὐτήν· οὐ γὰρ εἶχεν ὃ δράσοι
» ἡ νηπιόφρων, ἁπαλόχροος κόρη.
» Εἰώθασι γὰρ ὠχρίαν προσλαμβάνειν
» αἱ μὴ βλέπεσθαι προσδοκῶσαι παρθένοι,
» ὅταν τις αὐταῖς ἀπροόπτως ἐγγίσῃ
» καὶ προσλαλήσῃ μᾶλλον ἀξυμφωράως.
» Ἐντεῦθεν ἐλθὼν εἰς τὸν οἰκεῖον δόμον,
» ἐμαυτὸν ἐκδίδωμι τῷ κλινιδίῳ,
» ἀδρὰν λαβὼν ἔρωτος ἀνθρακουργίαν
» (δι' ὀμμάτων γὰρ δὺς Ἔρως τὴν καρδίαν,
» οὐ μέχρι ταύτης ἵςαται, φλέγειν θέλων,
» μέλη δὲ πάντα πυρπολεῖ περιτρέχων),
» καὶ καθ' ἑαυτὸν ἐτραγῴδουν ἠρέμα·
» Μηδεὶς πτοείσθω, κἂν πεφαρμακευμένα
» τὰ τοῦ πόθου βέλεμνα τὰ ξιφηφόρα·
» τὴν γὰρ φαρέτραν τῶν βελῶν πληρουμένην
» ὅλην ἐμοὶ νῦν ἐκκενοῖ μανεὶς Ἔρως.
» Μὴ δειλιάτω τῶν πτερύγων τὸν κρότον·
» Ἔρως γάρ, ὥσπερ ἐμπεσὼν ἐν ἰξίῳ,

» τῇ καρδίᾳ μου συγκρατεῖται καὶ μένει.
» Ἔρως, Ἔρως δείλαιε, πῦρ πνέων Ἔρως,
» ἂν εἶδες ἰξευθέντα τὸν ϛέρνου τόπον,
» οὐκ ἂν καταπτὰς ἀμφεκολλήθης, τάλας.
» Πανδαμάτορ, πάντολμε, παντάναξ Ἔρως,
» ποινηλατεῖς πικρῶς με μὴ πταίσαντά σοι·
» οὐ χεῖρα κόπτεις, οὐδὲ συντέμνεις πόδας,
» οὐδ' ἐξορύττεις τὰς κόρας τῶν ὀμμάτων,
» αὐτὴν ὀϊϛεύεις δὲ καρδίαν μέσην,
» καὶ θανατοῖς με· δυσμενὲς, βριαρόχειρ, 140
» σφάττεις, φονεύεις, πυρπολεῖς, καταφλέγεις,
» πλήττεις, ἀναιρεῖς, φαρμακεύεις, ἐκτρέπεις·
» τῆς ἰσχύος σου, πτηνοτοξοπυρφόρε!
» Οὕτως ἐγὼ δείλαιος ἐξεκοπτόμην.
» Πλὴν φάρμακόν τι συννοῶ μου τῆς νόσου,
» μήνυμα γραπτὸν ἀντιπέμψαι τῇ κόρῃ· 146
» ὑπέτρεχον γὰρ συλλογισμοί μοι ξένοι,
» ὡς τυχὸν ἀντέπαθε καὶ Καλλιγόνη,
» ἰδοῦσα τὸν Κλέανδρον ὡραιωμένον.
» Μὴ γὰρ, Χαρίκλεις, τὸν λέγοντα κερτόμει,
» βλέπων ἀμαυρωθέντα τῇ περιϛάσει, 151
» βλέπων σκοτεινὸν καὶ κατησβολωμένον·
» ψυχῆς γὰρ ἐντὸς θλίψεσι ϛροβουμένης,

» corde meo tenetur manetque. Amor, im-
» probe Amor, ignem spirans Amor, si co-
» gnovisses viscatum hunc esse præcordio-
» rum locum, non huc devolans te irretivisses,
» miselle. Oh! qui cuncta domas, nihil non
» audes omniumque regnas, Amor, quam
» dure me castigas, qui in te non peccaverim!
» Non amputas manum, non truncas pedes,
» non effodis oculorum pupillas; at cor
» ipsum jaculo petis medium, meque exa-
» nimas : crudelis, robustisque abuse la-
» certis, trucidas, mactas, incendis, uris,
» verberas, occidis, venenas, deturbas.
» Oh! vim ingentem tuam, metuende puer
» alis, arcu, tæda! Sic ego miser ange-
» bar, cum remedium morbi invenire mihi
» visus sum, nempe si per litteras amorem
» virgini significarem. Mentem enim subi-
» bant cogitationes miræ : Calligonen forte,
» conspecto pulchro Cleandro, fuisse et ip-
» sam amore perculsam. At noli, Charicles,
» ridere me talia de me dicentem; nam quem
» cernis Cleander assiduo est dolore con-
» fectus, squallidusque et lurore deformis.
» Animum enim intus cum torquet dolor

» ob amissum dudum desiderium nitens,
» corpus una totum torqueri necesse est. »
« O quam dicis apte, Cleander! » Charicles
infit. » Juvenis vultus floret pulcherque ma-
» net, dum habet animus lætitiæ causas. »
Contra Cleander: « Ergo quam scripseram,
» Calligonæ statim misi epistolam, experiri cu-
» piens an revera Calligone et ipsa amaret. »
Tum Charicles rursus: » Sic dulci fruaris
» Calligones amore, Cleander; horum nil
» linquas indictum, quæ scripta puellæ mi-
» sisti. » Cui Cleander: « Accipe igitur: Tui,
» puella formosissima, aspectus jucundi me-
» mor, qui me cernentem perculsit, heri
» Charontem obvium, qui te, ut dixit, jam
» ante me fama noverat, paullum interro-
» gavi: O gaudia inexperte, Charon, et
» corde nimis fero, num et præstantissimam
» inter puellas Calligonen cum æqualibus
» aliis rapies miserabiliter, corrumpesque
» pulchritudinem illam famigeratissimam?
» Num avelles heu! orbes

» καὶ τῶν ἱμερτῶν ἔκπαλαι ϛερουμένη,
» πάντως ἀνάγκη σῶμα συμπάσχειν ὅλον.»
« Ὡς εὖ λέγεις, Κλέανδρε! » Χαρικλῆς ἔφη.
» Θάλλει νέου πρόσωπον, ὡραῖον μένει,
« ψυχῆς ἀφορμὰς χαρμονῆς κεκτημένης. »
» Γράψας τὸ λοιπὸν, ἐξέπεμψα συντόμως, »
Κλέανδρος ἀντέφησε, » πρὸς Καλλιγόνην,
» πειρώμενος σχεῖν πίϛιν ἐκ τῶν πραγμάτων,
» εἴπου τι ϛυμπέπονθε καὶ Καλλιγόνη. »
» Ἀλλ' ὡς ὄναιο τοῦ πόθου Καλλιγόνης, »
ὁ Χαρικλῆς ἔλεξε τῷ ξένῳ πάλιν,
» Κλέανδρε, τούτων μηδὲν ἄῤῥητον λίπῃς,
» ὧν γεγραφὼς ἔπεμψας πρὸς τὴν παρθένον.»
» Ἄκουε λοιπόν » ὁ Κλέανδρος ἀντέφη.
» Τῆς σῆς ἐγὼ, παῖ παγκάλη, μεμνημένος
» θέας ἱμερτῆς ἣν ἰδὼν κατεπλάγην,
» χθὲς ἐντυχὼν Χάρωνι, μικρὸν ἠρόμην,
» καί σε πρὸ ἡμῶν, ὥσπερ εἶπεν, εἰδότι·
» Ἀλλ', ὦ χαρᾶς ἄμοιρε, δυσμενὲς Χάρων,
» καὶ τὴν φερίϛην ἐν κόραις Καλλιγόνην
» σὺν τοῖς καθ' ἡμᾶς δυϛυχῶς ἀφαρπάσεις,
» καὶ κάλλος αὐτὸ τὸ προτεθρυλλημένον
» διαφθερεῖς, καὶ κύκλα τοξεύοντά με

» τῶν ὀμμάτων τοιαῦτα φεῦ ! διασπάσεις ;
» ἢ πρὸς τὸ κάλλος συςαλῆ ἀποβλέπων ;
» Οὕτω μὲν αὐτὸς εἶπον · ἀλλ' ὁ γεννάδας ,
» ὁ τρισθενὴς , Ναὶ , φησὶ δύσμορος Χάρων·
» καὶ διατείνας εὐθὺς ἀνταπεκρίθην ·
» Αἶ ! αἶ ! κακῶν κάκιςε, τί δράσεις, Χάρων !
» Τί λοιπόν ; ἀμφίνευσον , ὦ Καλλιγόνη.
» Εχεις με τὸν Κλέανδρον ἐξαιτοῦντά σε. »
» Μικρὸν τὸ γράμμα, μηχανῆς δ' ὅλως γέμον, »
ὁ Χαρικλῆς ἔφησεν ἠκουτισμένος ,
» ὅπως θανάτου καὶ Χάρωνος ἡ κόρη
» μνησθεῖσα νῦν κλίναντος τὰς ἐπῃρμένας ,
» ἐπικλινὴς γένοιτο τῷ γράψαντί σοι.
» Τί λοιπὸν εἰς Κλέανδρον ἡ Καλλιγόνη
» ἀντεῖπεν , ἀντέγραψεν , εἰδὼς εὖ , λέγοις. »
» Οὐδὲν , Χαρίκλεις , ὡς ἔοικεν , ἡ κόρη ,
» ἢ μὴ τὸ γράμμα τοῦτο προσδεδεγμένη ,
» ἢ παισὶ συμπαίζουσιν ἠσχολημένη.
» Καὶ δευτέρας οὖν συλλαβῆς ἄκουέ μου. »
» Ἀλλ' , ὦ φίλε Κλέανδρε , μηδὲ τῆς τρίτης
» ἐμοὶ φθονήσῃς συλλαβῆς πρὸς τὴν κόρην , »
ἔφη Χαρικλῆς. Ὁ Κλέανδρος ἀντέφη·
» Ἄκουε· ταύτης οὐ φθονῶ σοι , Χαρίκλεις·

» illos oculorum qui me tot sagittis vulne-
» rarunt ? an abstinebis hanc formam in-
» tuitus ? Sic ego : at ille fortis, et robus-
» tissimus tristissimusque Charon , Næ ,
» inquit. Cui vicissim ego protinus : Ha !
» ha ! ante omnes improbior, quid ages,
» Charon ! Jam quid superest ? Annue,
» Calligone. En adest tibi tui cupiens maxu-
» me, Cleander. » His auditis, « Parva qui-
» dem « Charicles ait » epistola ; sed quæ
» arte tota referta fuit, ut virgo mortis et
» Charontis memor qui superbas deprimit,
» tibi faveret autori epistolæ. Jam quid
» Calligone Cleandro vel voce viva vel ca-
» lamo responderit, doceas me tu qui no-
» visti. » — « Nihil, Charicles, ut videtur,
» puella respondit, sive epistolam hanc non
» acceperit, vel ludere potius habuerit puel-
» lis cum æqualibus. Accipe igitur et episto-
» lam secundam. » — « Nec tertiam, carum
» caput, mihi invideas, » Charicles inquit.
Cui contra Cleander : « Audias : hanc ti-
» bi, Charicles, non invideo :

» nam conloquens tecum sentio me a morbo
» levari. Ex quo vultum tuum adspexi, Virgo,
» fabula videtur canentium Sirenum concor-
» dia. Pulchrior es quam ut id versu pos-
» sim exprimere; mihi majus infudisti phil-
» trum, quam ut id ferre natura valeat.
» Quos percutis, vertis in lapides; nequa-
» quam enim das effugere. Flava est coma:
» aurum, rursus terram subi. Fulget ocu-
» lus : vale, lapidum pretiosorum fulgor.
» Alba est cuticula : vale, margaritarum
» nitor. Adspectus enim illius tui, Virgo,
» solis instar splendidi, ubique mecum me-
» moriam ferens, crudelis Amoris non pos-
» sum carbones intus accensos restinguere.
» Et ipsa mens adspectum illum tuum ver-
» sat usque, investigans curiosa qualem te
» tunc viderim. Quin etiam intus, cordis me-
» dio miselli, acer Amor, viperea proles,
» se obliquis, ut serpens, contorquet spi-
» ris, et pectus mihi visceraque heu! de-
» pascitur. Tuum est emendare morbum.
» Carbones extingue, et rore madefacias
» me, et serpentem qui me nexibus in-
» volvit, Virgo, tuis avelle cantionibus. »

» κουφίζομαι γὰρ προσλαλῶν σοι τῆς νόσου.
» Μῦθον τὸ Σειρήνειον ἐννοῶ μέλος,
» ἀφ' οὗ τὸ σὸν πρόσωπον εἶδον, παρθένε.
» Αὐχεῖς, ἰδού, τὸ κάλλος ὑπὲρ τὸν λόγον·
» διδοῖς ἐμοὶ τὸ φίλτρον ὑπὲρ τὴν φύσιν·
» λιθοῦσα πλήττεις· οὐδὲ γὰρ φεύγειν δίδως.
» Ξανθὸν τὸ πλέγμα· δῦθι, χρυσέ, γῆν πάλιν.
» Λαμπρὸν τὸ βλέμμα· χαῖρε, λαμπρότης λίθων.
» Τὸ χρῶμα λευκόν· ἔῤῥε, μαργάρων χάρις.
» τῆς σῆς γὰρ αὐτὸς φωσφορούσης, Παρθένε,
» θέας ἐκείνης πανταχοῦ μεμνημένος,
» τοῦ δυσμενοῦς Ἔρωτος οὐ κατισχύω
» τοὺς ἄνθρακάς μοι τοὺς ἀναφθέντας σβέσαι.
» Καὶ νοῦς μὲν αὐτὸς ἐξελίσσει τὴν θέαν,
» ἀνιστορῶν ἣν εἶχεν, ὡς εἶδον πάλαι·
» ἀλλ' ἔνδον αὐτῆς τῆς ταλαίνης καρδίας
» Ἔρως ὁ πικρός, ὁ δρακοντώδης γόνος,
» ἑλίσσεταί μοι λοξοειδῶς, ὡς ὄφις,
» καὶ στέρνα μοι καὶ σπλάγχνα φεῦ! κατεσθίει.
» Σὸν ἔργον ἐστὶ καταπαῦσαι τὴν νόσον.
» Τοὺς ἄνθρακας σβέννυε, καὶ δρόσιζέ με,
» καὶ τὸν δράκοντα τὸν περιπλέκοντά με
» ταῖς σαῖς ἐπῳδαῖς ἐξαπόσπα, Παρθένε. »

» Ναί, ναί, φίλε Κλέανδρε, » Χαρικλῆς ἔφη
» ἁλόντος αὐτὰ, καὶ παθούσης καρδίας·
» ἔπαθες, ὡς φής· ἐξ ἐμαυτοῦ μανθάνω.
» Τὸν τῶν βροτῶν τύραννον αὐτοδεσπότην
» Ἔρωτα, τὸν τοσαῦτα συντήξαντά με,
» δεσμῆσαν αὐτὸ τῶν Χαρίτων τὸ ςῖφος,
» ταῖς εὐπροσώποις καλλοναῖς τῶν παρθένων
» τὸν δεσπότην δίδωσιν ὡς ὑπηρέτην.
» Ἡ Παφίη δὲ πανταχοῦ πλανωμένη,
» καὶ λύτρα δῶρα προσφέρουσα μυρία,
» ζητεῖ τὸ τέκνον πολλὰ ποτειρομένη·
» καὶ, κἂν τις αὐτὸν εὑρεθῇ λῦσαι θέλων,
» οὐ δραπετεύει· καὶ γὰρ ὡς ὑπηρέτης
» τὸ προσμένειν ἔμαθεν ἐκ τῶν Χαρίτων. »
» Ἄκουσον » ὁ Κλέανδρος εἶπε » καὶ τρίτης
» ἡμῶν, Χαρίκλεις, συλλαβῆς πρὸς τὴν κόρην.
» Ἐκ σοῦ, σελήνη, καὶ τὸ φῶς δοκῶ βλέπειν.
» Σοὶ συγκινοῦμαι, σοὶ πνέω, σοὶ συμπνέω.
» Σὺ χαρμονή μοι, καὶ σὺ φάρμακον νόσου.
» Σὺ φροντὶς εἶ, καὶ θᾶττον ἄφροντις βίος.
» Σὺ καὶ νεκρὸν ζωοῖς με· τὸ πρᾶγμα ξένον!
» καὶ ζῶντα νεκροῖς· θαῦμα! Καὶ γὰρ ἡ φύσις
» κεςοὺς ὅλους λαβοῦσα πρὸς τὴν σὴν πλάσιν

» — Næ! Cleander carissime, » Charicles ait, « næ! ista sunt amantis, animique non » vacui Passus es quæ narras; ex me cre- » dere disco. Mortalium tyrannum sine lege » regnantem, quique tam multis me peredit » languoribus, Amorem vinctum olim Gra- » tiarum chorus formosis virginibus ser- » vum tradidit, dominus qui fuerat. Pa- » phie autem ubique cursitans, et grandia » redemptionis dona proferens, puerum » quærit multa querens. Et si quis illum tra- » dere voluerit, haud fugit. Etenim ex Gra- » tiis didicit manere ut servus.»—« Audi, » Cleander inquit, » et tertia quæ fuerit mea » ad Calligonen epistola. Ex te, o Luna » mea, lucem videre mihi videor. Tecum » moveor, tibi spiro, spiro tecum. Tu mihi » es gaudium, tu remedium morbi. Tu cura » es; tu potius incuria vitæ. Tu mortuum » me vivificas, mirabile dictu! et vivum » enecas, magnum! Etenim Natura, ad te » formandum cestis sumtis omnibus,

239

» finxit te candidam simul et roseam luciferam-
» que. Oh ! quale hoc astrum tam splendidum
» et magnum, Luna mater, lucifera, in nos-
» tris peperisti temporibus ! Ægrotas ? ægro-
» to. Gaudesne ? Gaudeo valde. Dolesne ?
» condoleo. Plorasne ? apploro tibi. Unum
» hoc acerbum est, unum hoc me mordet
» et angit : ex quo te vidi, misellus sagitta fui
» transfixus ; tu vero in corde scopulos us-
» que geris. Non enim remedium statim
» præbuisti quo sanaretur pectus saucium ;
» et nunc e putrescente vulnere enati ver-
» mes me depascuntur : adeo Amor semper
» arcum intendens jugulat, mactat, vul-
» nerat, laniat, premit, pungit, ferit, ene-
» cat, secat, cruciatque. Huc ades ; adspice
» cor vulneratum, pectusque letali per-
» fossum ictu. Instilla dulcem in pectore ro-
» rem, qui sit pro vino et oleo vulneri
» meo. Huc admove digitos crystallo levio-
» res, corque ægrum contrecta. Tenuissi-
» mum explica linteum,

» ἀγαλματοῖ σε λευκερυθροφωσφόρον.
» Ὦ ποῖον ἄςρον λαμπρὸν οὕτω καὶ μέγα,
» Μῆτερ σελήνη, φωσφόρος, φυτοσπόρος,
» ἐν τοῖς καθ' ἡμᾶς ἐξεγέννησας χρόνοις!
» Νοσεῖς; νοσῶ· χαίρεις δέ; συγχαίρω μέγα·
» ἀλγεῖς; συναλγῶ· δακρύεις; συνδακρύω.
» Ἓν τοῦτο πικρὸν, ἓν τὸ δάκνον, τὸ τρύχον·
» ἀφ' οὗ γὰρ εἶδον, ἐξετοξεύθην τάλας,
» ἀεὶ δέ μοι σὺ πετροκάρδιος μένεις·
» σὺ φάρμακον γὰρ ἐμπαρέσχες αὐτίκα
» τῇ καρδίᾳ μου τῇ τετραυματισμένῃ,
» καὶ νῦν σαπέντος τοῦ πεπληγότος τόπου
» ἐκφύντες οἱ σκώληκες ἐσθίουσί με·
» οὕτως ἀεὶ τὸ τόξον ἐκτείνων Ἔρως
» σφάττει, φονεύει, τραυματοῖ, ξαίνει, θλίβει,
» κεντεῖ, τιτρώσκει, θανατοῖ, τέμνει, τρύχει.
» Ἔγγισον, ἴδε καρδίαν πεπληγμένην
» καὶ ςέρνον αὐτὸ καιρίως βεβλημένον.
» Ἔνςαξον εἰς τὸ ςέρνον γλυκεῖαν δρόσον,
» ὡς οἶνον, ὡς ἔλαιον εἰς τὸ τραῦμά μου·
» τοὺς κρυςαλλώδεις ὧδε δακτύλους φέρε,
» ὅλης ἐφάπτου τῆς παθούσης καρδίας·
» τὸ λεπτοϋφὲς ἐξυφάπλου μοι φάρος,

» τοὺς ἑλκεσιτραφεῖς δὲ δακνοκαρδίους
» σκώληκας ἀδροὺς θᾶττον ἐκκάθαιρέ μοι·
» οὕτως ὄναιο τῆς ἐμῆς σωτηρίας ;
» οὕτως ὀναίμην σῆς τόσης εὐποιΐας.
» Ποίησον οὕτως· ἀλλ' ὑπὸ χλαῖναν μίαν
» γενοίμεθα ζέοντι καρδίας πόθῳ,
» ἐπαινέτην πλέξαντες ἀλληλουχίαν.
» Ἀλλ', ὦ Χαρίκλεις, εἰ δοκεῖ, σιγητέον·
» εἰ δ' οὔ, τετάρτῃ συλλαβῇ δὸς ὠτίον. »
» Λέγοις ἂν, ὦ Κλέανδρε, » Χαρικλῆς ἔφη.
» Ἄκουε λοιπὸν ῥημάτων κατωδύνων
» ὅσα προσεξέπεμψα τῇ Καλλιγόνῃ, »
Κλέανδρος εἰπὼν, ἦρχε τῆς τραγῳδίας·
» Χρυσοῦν δέχου τὸ μῆλον οὐ γεγραμμένον,
» ὦ σῶμα συμπὰν εὐφυὲς Καλλιγόνη·
» κἂν ἐγράφη δὲ, πρὸς σὲ ποία τις ἔρις ;
» Δέχου, καλὴ, τὸ μῆλον, ὡς καλῇ μόνῃ·
» τῶν παρθένων γὰρ ἐν χοροῖς σὺ καλλίων·
» συμμαρτυρεῖ καὶ Μῶμος αὐτὸς, ἀτρέμας
» ἰδὼν σὺν ἡμῖν εἰς πανήγυριν πάλαι
» ἄνω πατοῦσαν καὶ προκύπτουσαν κάτω·
» καὶ γὰρ τὸ χεῖλος ἐνδακὼν κατεπλάγη.
» Μὴ σφόδρα μοι σύναγε τὰς ὀφρῦς ἄνω·

» vermibusque sine mora vulnus purges qui,
» ulceribus innutriti meis, meum scaturien-
» tes cor mordent. Sis felix, precor, ob ser-
» vatam mihi vitam! Sim ego felix tanto tuo
» beneficio! Sic age: et sub uno ambo palliolo
» ferventi animi cupidine calentes invidendum
» nectamus conjugium. Sed tacebo, Charicles,
» tibi si videbitur; si vero non, quartæ præsta
» epistolæ auriculam.»—«Hanc recita, Clean-
» der, »Charicles ait.« Audi ergo mœstissima
» verba quæ Calligonæ misi, » Cleander infit,
cœpitque tristem recitare epistolam: » Au-
» reum accipe pomum, sed non inscriptum,
» o totum formosissima corpus, Calligone;
» et si foret inscriptum, quæ jam posset de
» te nasci contentio? Accipe, o pulchra, po-
» mum, accipe, quæ sola pulchra es. Ete-
» nim inter choros virginum tu pulchrior
» ante alias. Testatur et ipse Momus qui te
» dudum nostratum in cœtibus attentus si-
» lensque conspexit nunc superbius ince-
» dentem, nunc demissam oculos: labia enim
» præ admiratione momordit. Oh! ne con-
» trahas supercilia!

» me Amoris venena tabefaciunt; hujus ego » aduror carbonibus. Ut viator, sole tor- » rente, te, quasi arborem umbrosam, in- » veni. Utinam tota tibi nocte hærerem, » hedera velut ilici! Vera loquar: quan- » tum hieme præstat ver, luscinia passe- » ribus, quanto præ prunis est pomum » suavius, quantum mulieribus ter nuptis » virgines; tantum vultus tuus, tantum vel » umbra tui sola amantium recreat corda! » vim oh! aspectus tui mirabilem! Venus, » ut videtur, ipsa manus, o Virgo, in » sinus demisit tuos, et Gratiarum chorus » te certatim ornavit. Mihi venit in mentem » te forte esse Pandoram illam quam nobis » fabulæ fingunt. Et illam ipsa fabula crea- » vit; sed perspicua claraque veritas nobis te, » virgo, pulchram te, Calligone, sistit, mi- » raculum solis æmulum orbeque stellato » dignum. Sic, o Charicles, non jam ferre » valens amorem, crebras mittebam epistolas.

» ἐκ τῶν Ἔρωτος ἐξετάκην φαρμάκων,
» ἐκ τῶν ἐκείνου κατεκαύθην ἀνθράκων.
» Ἐξ ἡλίου φλέγοντος ὡς ὁδοιπόρος
» ὡς σκιερόν τι δένδρον ἐξεύρηκά σε·
» ὡς κισσὸς εἰς δρῦν συμπλακείην παννύχως.
» Εἰπεῖν δέον με τὴν ἀλήθειαν, ὅσον
» χειμῶνός ἐςι κρεῖττον ἐκκρίτως ἔαρ,
» ςρουθῶν ἀηδὼν, μῆλον ἡδὺ βραβύλων,
» ὅσον γυναικῶν τριγάμων ἡ παρθένος·
» τοσοῦτο τὸ πρόσωπον, ἡ σκιὰ μόνη
» θέλγουσι τοὺς ἔρωτας· ὢ ξένης θέας!
» Ἡ Κύπρις, ὡς ἔοικεν, αὐτὴ, Παρθένε,
» τὰς χεῖρας εἰς τὸν κόλπον ἐντέθεικέ σου,
» καὶ πᾶσα Χάρις ἐξεκαλλώπισέ σε.
» Ἐμοὶ λογισμὸς ἦλθε μὴ σὺ Πανδώρη,
» ἣν εἰσάγει τις μυθικὴ πλαςουργία·
» κἂν γοῦν ἐκείνην μῦθος αὐτὸς εἰσάγῃ,
» ὅμως ἐναργὴς τῆς ἀληθείας λόγος
» ἡμῖν παριςῶν ὡς ἄγαλμα δεικνύει
» ἡλιοειδὲς καὶ κατηςερισμένον,
» τὴν παρθένον σε, τὴν καλὴν Καλλιγόνην.
» Οὕτω, Χαρίκλεις, μηδαμοῦ ςέργειν ἔχων
» γραφὰς παρεξέπεμπον ἀλληλοδρόμους.

» Τί γοῦν; ὁ τάλας ἀντεμηνύθην μόλις
» ἐλθεῖν πρὸς αὐτοὺς παρθενῶνας ἐννύχως,
» ἐν οἷς διημέρευεν ἡ γλυκυτάτη.
» Καταλαβούσης τοιγαροῦν τῆς ἑσπέρας,
» ἀναλαβὼν κίθαριν ἠργυρωμένην,
» ἐπέκρουον κρούσμασι καλλιστοκρότοις,
» καὶ συγκροτῶν ᾤδευον εἰς Καλλιγόνην,
« καὶ (τῶν Ὀλυμπίων γὰρ ὑπερεφρόνουν)
« τοιῶνδε τερπνῶν ᾀσμάτων ἀπηργμένος·
» Λαμπὰς σελήνης φωταγώγει τὸν ξένον.
» Ἡ Νιόβη κλαίουσα λίθος εὑρέθη,
» μὴ καρτεροῦσα τὴν στέρησιν τῶν τέκνων·
» Πανδίονος δὲ θυγάτηρ παιδοκτόνος
» ἐξωρνέωτο, πτῆσιν αἰτησαμένη.
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
» Ἐγὼ δ' ἔσοπτρον εὑρεθείην, Ζεῦ ἄναξ,
» ὅπως ἀεὶ βλέπῃς με σὺ, Καλλιγόνη!
» Χιτὼν γενοίμην χρυσόπαστος, ποικίλος,
» ὅπως ἔχω σου θιγγάνειν τοῦ σαρκίου!
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
» Ὕδωρ φανείην, ὡς προσώπου πᾶν μέρος
» σχοίην ἀλείφειν εὐτυχῶς καθ' ἡμέραν!
» Μύρον γενοίμην, ὡς ἐπιχρίειν ἔχω

» Quid igitur? Tandem misero mihi significa-
» tum est posse me noctu ad ipsum adire par-
» thenona quem habitabat puella dulcissima.
» Ergo adveperascente, cithara sumta ar-
» gentea, chordasque blande pulsans, ad
» Calligonen tendebam iter, hasque dulces
» (quippe qui sidera vertice rebar me tan-
» gere) orsus cantilenas: Lunæ tæda, præbe
» lumen eunti. Lugens Niobe fuit in lapidem
» versa cum liberorum non ferret amissionem;
» nataque Pandione, interfecto filio, in avem
» convertit, alas cum sibi dari flagitasset. —
» Lunæ tæda, præbe lumen eunti. — Utinam
» speculum fiam, Jupiter Deorum rex, ut me
» usque aspicias, Calligone! Utinam tunica,
» auro intertexta variaque, ut tuum queam
» corpusculum contingere! — Lunæ tæda,
» præbe lumen eunti. — Utinam aqua fiam,
» vultus ut partes omnes quotidie possim la-
» vare feliciter! Utinam unguentum, ut
» ungere valeam

» labia, genasque, et manus, oculos,
» osque! — Lunæ tæda, præbe lu-
» men eunti. — Magna nec facile adqui-
» renda, quid mihi sunt opus? satis fuerit
» aureum me fieri sandalium, candidis calcan-
» dum plantis! — Lunæ tæda, præbe lumen
» eunti.—Pro igne (si deficeret) Jupiter vitæ
» dedit humanæ ignem alium terribilem, fœ-
» minam. Utinam ignis ille, utinam fœmi-
» neum genus numquam in terras descen-
» disset vitamque fuisset ingressum! — Lu-
» næ tæda, præbe lumen eunti — Ignis enim,
» flagrans licet, rursus et facile a quoquam
» restinguetur. At fœmina ignem in animo
» secum fert, nulla finiendum arte, si vultu
» prædita sit pulchroque formosoque. —
» Lunæ tæda, præbe lumen eunti. — Con-
» tinuo enim quos e prælio virtus salvos edu-
» xit, quorum capiti pepercit ensis, quos
» lectulo non applicuit morbus, quos ma-
» nus feliciter audax eripuit periculis, quos
» non oppresserunt rerum vicissitudines, nec
» constrixerunt vincula, non collarium pon-
» dus

» χείλη, παρειὰς, χεῖρας, ὄμματα, στόμα!
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
» Τί μοι μεγίστων καὶ τυχεῖν μὴ ῥᾳδίων;
» Ἤρκει γενέσθαι χρύσεόν με βλαττίον,
» καὶ καρτερεῖν με συμπατούμενον μόνον
» τῇ λευκοτάρσῳ τῶν ποδῶν σου συνθέσει.
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
« Ζεὺς ἀντὶ πυρὸς ἐμπαρέσχε τῷ βίῳ
» πῦρ ἄλλο δεινὸν, τῆς γυναικὸς τὴν πλάσιν.
» Ὡς εἴθε μὴ πῦρ, μὴ γυναικεῖον φῦλον
» κατῆλθεν εἰς γῆν καὶ προῆλθεν εἰς βίον!
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
» Τὸ πῦρ γὰρ αὐτὸ, κἂν ἀναφθείη, πάλιν
» καὶ συντόμως σχοίη τις ἐγκατασβέσαι·
» γυνὴ δὲ πῦρ ἄσβεστον ἐν ψυχῇ φέρει,
» ἂν κάλλος εὐπρόσωπον ὡραῖον φέρῃ.
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
» Τυχὸν γὰρ οὓς ἔσωσεν ἀνδρία μάχης,
» ὧν μὴ κεφαλὴν ἐξέκοψεν ἡ σπάθη,
» οὓς μὴ κλινήρεις ἀπέδειξεν ἡ νόσος,
» οὓς δραστικὴ χεὶρ ἐρρύσατο κινδύνων,
» οὓς οὐ κατειργάσαντο κύκλοι πραγμάτων,
» οὓς δεσμὸς οὐ κατέσχεν, οὐ κλοιῶν βάρος

» σιδηροτεύκτων, ἐσφυρηλατημένων,
» (Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον)
» ἀεὶ δὲ χωρὶς τῆς τυχούσης φροντίδος
» ζῶσι Κρονικὸν καὶ τὸν εὔθυμον βίον·
» τούτους γυνὴ λαλοῦσα χαρμονῆς χάριν
» ταῖς ἐξ ἐκείνης καλλοναῖς σελασφόροις
» ὡς ἐν κεραυνῷ πρηστικῷ καταφλέγει.
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
» Σῶν χειλέων κάμινος ἐξῆπται μέσον,
» Καλλιγόνη, θάμβημα τοῖς ἰδοῦσί σε,
» ὁμοῦ κατ' αὐτὸ πῦρ φέρουσα καὶ δρόσον,
» τῇ μὲν καλοῦσα, τῷ δ' ἀποτρέπουσά με.
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
» Αὕτη τὸν ἐμβλέψαντα μακρόθεν φλέγει·
» τὸν δὲ προσεγγίσαντα τῷ στόματί σου,
» ἢ καὶ τυχόντα τοῦ φιλήματος μόνου
» ψυχρᾷ ψεκάδι δεξιοῦται καὶ δρόσῳ.
» Ὦ πῦρ δροσίζον! Ὦ φλογίζουσα δρόσος!
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.
» Ἀλλὰ φλεγέντα καὶ πεπυρπολημένον
» ἐξ ἄνθρακος, σῶν χειλέων παρηγόρει
» διδοῦσα τὴν σὴν εἰς ἀνάψυξιν δρόσον,
» Καλλιγόνη, κάλλιστον ὡραῖον ῥόδον.
» Λαμπὰς σελήνης, φωταγώγει τὸν ξένον.

» ferratorum gravibusque ductorum malleis ; » — (Lunæ tæda , præbe lumen eunti)— qui » procul negotiis longam degunt tranquillam» que ætatem ; illos fœmina blandiloquens , » igneis pulchritudinis illecebris , fulminis » quasi vi torrentis , incendit. — Lunæ » tæda, præbe lumen eunti. — Labiorum » medio tuorum caminus flagrat , Calligone , » spectantibus te miraculum cunctis , qui » simul habet ignem roremque , altero me » alliciens , repellens altero. — Lunæ tæda , » præbe lumen eunti. — Eminus spectantem » urit ; eum vero qui ad os accessit tuum , » vel fuit osculum tantummodo potitus , fri» gidula recreatur gutta et amœno rore . Oh » flamma plena roris ! O ros flammæ plene ! » — Lunæ tæda , præbe lumen eunti. — At » crematum adustumque carbonibus solari » ne neges , e labellis rore tuis in meum fu» so refrigerium, Calligone , pulchra , pul» cherrima rosa. — Lunæ tæda , præbe lu» men eunti.

DROSILLÆ ET CHARICLIS

RERUM

LIBER TERTIUS.

« TALIA lyra modulans, ut verno luscinia » tempore, ibam; et virginem reperi vidique: » et, O salve, dixit occupans præloqui, o in- » somniorum meorum sponse! Nudiustertius » Amor, adstans mihi vesperi, te mihi, » Cleander, connubio junxit, tuis, ut aie- » bat, permotus lacrymulis. Adverte, Clean- » der, adverte, quæso, qui res nostræ in tu- » to statui queant. Ego etenim, nec ignem, nec » maria, nec ensem metuam amoris Clean- » drei causa. Quos enim junxit Amor, quis » divellat? Quibus auditis, Charicles, ego » contra: Salve tu quoque, Calligone! et » portus mecum quære vicinos,

ΤΩΝ

ΚΑΤΑ ΔΡΟΣΙΛΛΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

« Ουτω μελίζων, ὡς ἀηδὼν εἰς ἔαρ,
» προσῆλθον, εὗρον, εἶδον αὐτὴν τὴν κόρην·
» καὶ, Χαῖρε, φησὶν, ὦ καθ' ὕπνους νυμφίε,
» ἐμοῦ προαρπάσασα τὴν ὁμιλίαν.
» Ἔρως ἐπιστὰς τῇ πρὸ τῆς χθὲς ἑσπέρᾳ,
» ἐμοὶ συνῆψέ σε, Κλέανδρε, πρὸς γάμον,
» ὡς εἶπε, προσχὼν οἷς ἐπένθεις δακρύοις.
» Καὶ σκεπτέον σοι, ναὶ, Κλέανδρε, σκεπτέον
» πῶς τῶν καθ' ἡμᾶς ἀσφαλῶς φροντιστέον.
» Ἐγὼ γὰρ οὐ πῦρ, οὐ θάλασσαν, οὐ ξίφος,
» πρὸς τὴν Κλεάνδρου δειλιάσαιμι σχέσιν·
» οὓς γὰρ Ἔρως συνῆψε, τίς διασπάσοι;
» Τούτων ἀκούσας, ὦ Χαρίκλεις, τῶν λόγων,
» Καλλιγόνη, σύγχαιρε, λοιπὸν ἀντέφην·
» καὶ δεῦρο, δεῦρο πρὸς τὸν ἀγχοῦ λιμένα,

» ὅπως ἀποπλεύσωμεν ἄμφω Λεσβόθεν,
» Ἔρωτι δόξαν τῷ τυράννῳ, Παρθένε.
» Οὐκοῦν ἑαυτοὺς ἐμβαλόντες εἰς σκάφος
» (οὐ γὰρ βραδύνειν ἐμμανεὶς Ἔρως θέλει),
» καὶ πέντε συμπλεύσαντες ἡμερῶν δρόμον
» τοῦ φωσφόρου κλίναντος ἄρτι πρὸς δύσιν,
» καὶ πνευσάσης λαίλαπος ὠλεσισκάφου,
« ἄκοντες ἐξήχθημεν εἰς Βάρζον πόλιν,
» ἧς καὶ προσωρμίσθημεν ἐν τῷ λιμένι,
» μόλις φυγόντες τὴν ἀνάγκην τῆς ζάλης.
» Οὕτω τυχὸν δὲ, δυσμενεῖς Πάρθοι τότε
» σφοδρῶς ἐληΐζοντο κύκλῳ τὴν πόλιν·
» τοὺς Βαρζίτας γὰρ ζημιοῦσι πολλάκις
» ἄφνω παρεμπίπτοντες ἠμελημένοις·
» οἳ συλλαβόντες πάντας ἡμᾶς ἀθρόως
» τοὺς τῆς θαλάσσης ἐκφυγόντας τὸ στόμα,
» Καλλιγόνην, Κλέανδρον, ἄλλους ἐμβάτας,
» τὴν φορταγωγὸν ἐξέκαυσαν ὁλκάδα.
» Καλλιγόνη γοῦν ἐγκρυβεῖσα μυρρίναις
» (συνηρεφεῖς γὰρ ἦσαν ἀγχοῦ λιμένος)
» τὴν Παρθικὴν ἔφυγεν ἀγερωχίαν.
» Ἐγὼ δὲ μέχρι τῆς παρούσης ἡμέρας,
» ἀφ' οὗπερ αὐτῆς, ὦ θεοί! διεζύγην,

» amboque a Lesbo procul solvamus, quando
» quidem, o Virgo, ita visum est Amori mor-
» talium tyranno. Igitur nos navi credidimus ;
» nullas enim moras permittit amens Amor :
» et cum per continuos quinque dies navigas-
» semus, sole jam ad occasum vergente, tem-
» pestas ingruit atrox, invitique ad Barzum
» accedimus portumque subimus, vix hie-
» mis devitata sævitia. Tunc forte urbis con-
» finia vastabant crudeles Parthi, quibus
» usitatum est inopinis excursibus impru-
» dentes Barzitas invadere. E maris faucibus
» vix elapsos nos omnes comprehendunt,
» Calligonen, Cleandrum, vectores cæte-
» ros, onerariamque qua vecti eramus na-
» vem concremant. Calligone quidem, myr-
» teto latens (nam prope portum spissæ
» myrti creverant), Parthicam effugit violen-
» tiam. At ego ad hunc usque diem, ex quo
» fui ab ipsa heu! disjunctus,

» in carcere degi tenebricoso, duplici gra-
» vissimaque oppressus calamitate : quippe
» qui Calligone privatus sum virgine, nunc-
» que hostibus sum præda immanissimis. At-
» qui tu, Charicles, narra, nam pollicitus
» es, lacrymosa vitæ tuæ infortunia. » Cui
Charicles rursus : « Jubes me, Cleandre, nar-
» rationem vere lacrymosam incipere malo-
» rum quæ me premunt et angunt : attamen,
» quoniam narrata animi mala animum le-
» vant, Cleandre, advertas animum : dicere
» neutiquam nego. Mater mihi fuit Crystalle,
» pater, Phrator, atavis ambo non tenuibus
» editi; patria Phthia. Jam vero, ut fere-
» bant instituta juventutis, prima præ-
» stantibus ætas studiis innutriebatur : cum
» juvenibus amicis me oblectabam, equita-
» bam, ludebam, ut huic ætatulæ est mos;
» lepores catulo sectabar; apte utebar equis :
» socios enim ludorum habebam juvenum
» generosissimos. Amoris autem ignium ad-
» huc eram expers, quippe cujus nondum
» lanugo genas colorabat. At festo Bacchi
» redeunte die,

» εἱρκτὴν κατοικῶ τὴν κατεζοφωμένην,
» διττὴν πεπονθὼς συμφορὰν βαρυτάτην·
» Καλλιγόνης γὰρ ἐστέρημαι παρθένου,
» καὶ νῦν παρ' ἐχθροῖς εἰμὶ δυσμενεστάτοις.
» Σὺ γοῦν, Χαρίκλεις, ὡς ὑπέσχου, μοι λέγοις,
» τὸν σὸν πονηρὸν καὶ πολύδακρυν βίον. »
» Ποιεῖς μὲν ὄντως οὐκ ἀδακρύτως λέγειν,
» Κλέανδρε, τὰ τρύχοντα καὶ θλίβοντά με, »
ἔφη Χαρικλῆς τοῦ λαλεῖν ἀπηργμένος·
« ὅμως ἐπειδὴ καρδίαν ἐλαφρύνει
» τὸ τοὺς κατ' αὐτὴν ἐξερεύγεσθαι πόνους,
» Κλέανδρε, πρόσχες· οὐ κατοκνῶ γὰρ λέγειν.
» Μήτηρ μὲν ἦν μοι Κρυστάλη, πατὴρ Φράτωρ,
» οὐκ ἐκ γεναρχῶν ἀκλεῶν; πατρὶς Φθία·
» ἤδη δὲ, τὸν μείρακα τῆς ἥβης νόμον,
» ἡλικιούμην εὐγενῶς τεθραμμένος·
» μείραξι συνέχαιρον οἷς προσωμίλουν,
» ἵππευον, ἀμφέπαιζον, ὡς νέοις νόμος,
» λαγὼς ἐθήρων, εὐφυῶς ἱππηλάτουν·
» συμπαίστορας γὰρ εἶχον εὐγενεστάτους.
» Ἐρωτικῶς δ' οὖν οὐκ ἔπαθον εἰσέτι·
» οὔπω γένυν ἴουλος ὑπεζωγράφει.
» Διονύσου δὲ τῆς ἑορτῆς ἐνστάσης,

» συνεξεληλύθειμεν ἡδονῆς χάριν
» βωμὸν παρ' αὐτὸν, ὃς παρ' αὐτῇ τῇ Φθίᾳ
» ἔξωθεν ὠρόφωτο πλαξὶν εὐχρόοις.
» Ἦν οὖν κατ' αὐτὸ τοῦ Θεοῦ τὸ χωρίον
» ἀεὶ τὸ δένδρον οἷον ἄνθουν εἰς ἔαρ,
» βρίθον τε καρπῷ καὶ τεθηλὸς φυλλάσιν·
» καὶ γὰρ ποταμὸς ἐκρέει Μελιῤῥόας,
» ἰδεῖν μὲν ἡδὺς καὶ πεπόσθαι βελτίων·
» οἱ πλείονες δὲ τὸν γλυκὺν Μελιῤῥόαν
» καλοῦσι Θρεψάγρωςιν ἄνδρες βουκόλοι
» ὅσοι βόας νέμουσιν ἐν τῷ χωρίῳ,
» ὡς ἡσυχῇ ῥέοντα τῆς ὄχθης ἔσω.
» Οὐ γὰρ χιὼν λυθεῖσα γεννῶσα τρέφει,
» οὐδ' ἐξ ὄρους πρόεισι πολλὴ πλημμύρα,
» καὶ τὰς ἀρούρας τῇ ῥοῇ παρασύρει·
» μόνος γὰρ οὗτος ἐν ποταμοῖς τῆς Φθίας
» ἴσως ἀεὶ ῥεῖ καὶ περιῤῥέει κύκλῳ.
» Εὐδαιμονεῖ δὲ πᾶς νομεὺς, πᾶς ἀγρότης
» ὃν ἔσχεν ἐντὸς τῶν ἑαυτοῦ ῥευμάτων.
» Ἐκ δ' οὐρανοῦ κάτεισιν ἡδίςη δρόσος,
» ἀφ' ἧς συνεςὼς ἐςιν ἐξ ἴσου ῥέων.
» Τούτου παρ' ὄχθαις χρῆμα χρυσῆς πλατάνου
» ἐν θαλεραῖς ἔθαλλε χρυσαῖς φυλλάσιν.

» voluptatis causa conveneramus ad aram,
» quæ non procul a Phthia marmore vario
» structa surgebat. Hoc in agro, qui Dei sa-
» cer erat, arbor usque florebat quasi vere
» medio, fructu gravis foliisque decora: flu-
» vius enim hic fluit Melirrhoas, visu jucun-
» dus, jucundior potu. Plerisque vero bu-
» bulcis qui boves his in locis pascunt, dul-
» cis Melirrhoas dicitur Threpsagrostis, quod
» lenibus inter ripas undis impellatur. Non
» enim solutis est generatus pastusque ni-
» vibus; non montibus ex altis abundanti
» flumine decurrit inundans, agrosque ever-
» sos trahit. Solus inter Phthiæ amnes æqua-
» libus semper vadis fluit et circumfluit;
» beans pastores omnes, omnes agricolas be-
» nignus quos includit liquor. Cœlitus de-
» pluit ros dulcissimus, qui fluctus parit
» æquali motu currentes. Hujus in ripa pla-
» tanus aurea surgebat, aureis vegetisque or-
» nata foliis;

» cui nequaquam est comparanda Xerxis » platanus illa celeberrima. Summo enim » cacumine æthera tangit, foliaque vicinis » præbebant umbram locis quæ Melirrhoæ » unda cingebat. Ex radicibus platani fons » scaturit, amœnus ut in tanta amœnitate. » Terra autem floribus luxuriatur, pecudes- » que alit pascuorum ubertate mira saturos » undisque pulchri Mellirrhoæ. Nam capella » inebriatur, si biberit, et sæpe viridibus » insultare herbis visa est. Æditnus autem ab » ipso Deo constitutus, custodit, indefesse vi- » gilans, a prætereuntibus sacram platanum, » ne forte pede injurioso ad eam accedant » propius. Ergo concurrebant omnes ex » Phthia ad festum Bacchi, viri, mulieres, » virgines, juvenes, puelli et puellæ. Ille » ego quem nondum Amoris jacula tetige- » rant, spectatum processi. Oh! utinam tunc

» Οὐδὲν πρὸς αὐτήν ἐςιν ἐν παραθέσει
» ἡ Ξερξικὴ πλάτανος ἡ θρυλλουμένη·
» τὸ μὲν γὰρ ἀκρόπρεμνον ἐγγὺς αἰθέρος,
» τὰ φύλλα δ' ἐσκίαζε τὴν γῆν τὴν πέριξ,
» ὅσην συνέσχεν ἡ Μελιῤῥόου ῥύσις.
» Ἐκρεῖ δὲ πηγὴ ῥιζόθεν τῆς πλατάνου,
» οἵαν ἐοικός ἐςιν ἐντεῦθεν ῥέειν.
» Ἡ γῆ δ' ἐπανθεῖ, καὶ τὰ θρέμματα τρέφει
» τῇ πλησμονῇ τε τῆς βορᾶς καὶ τῷ κόρῳ,
» καὶ τῷ ῥοθίῳ τοῦ καλοῦ Μελιῤῥόου·
» μεθύσκεται γὰρ ἡ μηκὰς αἲξ εἰ πίει·
» χλωραῖς ἐπεσκίρτησε πολλάκις πόαις.
» Νεωκόρος δὲ πρὸς θεοῦ τεταγμένος
» μένει φυλάσσων, ἀγρυπνῶν ἀκαμάτως,
» τὴν ἱερὰν πλάτανον ἐξ ὁδοιπόρων,
» μὴ πῶς πρὸς αὐτὴν ἴταμὸς προσεγγίσοι.
» Συνέδραμον γοῦν πάντες ἔξω τῆς Φθίας
» πρὸς τὴν ἑορτὴν τοῦ θεοῦ Διονύσου,
» ἄνδρες, γυναῖκες, παρθένοι, νεανίαι,
» μείρακες ἄλλοι καὶ νεανίδες κόραι.
» Ἐγὼ θεωρῶν ἀμύητος ἦν ἔτι
» ἐρωτικῶν δήπουθεν ἐκτοξευμάτων.
» Ὡς εἴθε τηνικαῦτα μὴ συνεξέδυν

» τοῖς γνησίοις μείραξι τῆς Φθίας πύλης!
» Προσήλθομεν δὲ συννεανίαι φίλοι
» τῷ τοῦ τόπου φύλακι καὶ τῆς πλατάνου,
» καὶ δῶρα δόντες ἕδραν ἔσχομεν ξένην,
» καὶ καρδίας τύραννον ἢ ποινηλάτιν
» τῆς παρθενικῆς καλλονῆς θεωρίαν.
» Εἴωθε καὶ γὰρ ὁ βριαρόχειρ Ἔρως
» ὁ πρεσβύτης παῖς, τὸ πρὸ τοῦ Κρόνου βρέφος,
» ὡς ἐκ θυρίδων ἐμπεσὼν δι' ὀμμάτων
» τὰ σπλάγχνα πιμπρᾷν καὶ φλέγειν τὴν καρδίαν,
» καὶ νεκρὸν ὥσπερ τὸν ποθοῦντα δεικνύειν.
» Καὶ γοῦν ὑπὸ πλάτανον αὐτὴν αὐτίκα
» ἡλικιώταις συγκαθήμενος φίλοις,
» τρυφῆς μετεῖχον ποικιλοψαρτυμάτων,
» ἀμφαγνοῶν δύστηνος ὡς γένοιτό μοι
» τὴν τηλικαύτην χαρμονὴν καὶ τὸν γέλων
» εἰς δακρύων ῥοῦν συμπεριστῆναι τέλος.
» Ὅμως πάλιν ἔχαιρον οἷς συνετρύφων·
» τοιοῦτόν ἐστιν ἀγνοοῦσα καρδία
» κακὸν τὸ μέλλον ἐν χαρᾷ καθημένη.
» Γελωτοποιῶν ἠκροώμην ῥημάτων
» ἐρωτικῶν, μᾶλλον δὲ τερπνῶν ᾀσμάτων.
» Ὁ μὲν γὰρ αὐτῶν τῶν συνεστιωμένων

» cum juvenibus his sacris initiatis ex urbe
» non fuissem egressus ! Accessimus autem
» ego et amici complures ad loci platanique
» custodem ; et, dato munere, sedem ha-
» buimus commodissimam, unde pulchras
» cernere erat virgines, animorum reginas vel
» carnifices. Solet enim violentus Amor, se-
» nex ille puer, Saturnoque serior ipso, per
» oculos quasi per fenestras illapsus, viscera
» adurere, cor incendere, et amantem fere
» enecare. Tegmine sub platani statim
» cum juvenibus recubans amicis, ciborum
» egregia arte conditorum deliciis me refi-
» ciebam, ignarus heu ! miser, gaudium
» hoc tantum risusque in lacrimarum rivos
» conversum iri. Interea tamen cum sociis
» me voluptati dabam. Adeo in lætitiam effu-
» sam mentem malum latet futurum ! Faceta
» auscultabam dicta et amatoria, potiusque
» suaves cantilenas. Ex discumbentibus enim

» unus aliquis tales fundebat sermones in
» virgines huc concursantes, vel in mulie-
» rum varios cœtus hinc inde prætereuntium:
» Heri angebat fauces sitis ignea, et sumta
» aquula (nam tunc ibam forte via publica),
» nectar ut divinum ad satietatem usque ebi-
» bi. Hesterni sis diei memor: namque tu
» dedisti. Sed alatus, et nimis fero corde
» deus, Amor quem contra nemo potest in-
» tueri, pharetratus Amor, versus in culicem
» incidit in calycem, et hausi: jamque intus
» titillat alis misero mihi pectus, et usque
» dum, proh dolor laborque! radit me, me
» commordet, et male me habeo. Tandem
» vix emollitus ferox ille mortalium tyran-
» nus me ad te mittit, quæ una potes curare
» vulnus, et cor morsu saucium; mittit me;
» admittas me tuum in gremium, durius ni-
» hil meditata: me, admittas me. Post hunc
» alius statim insequutus est: Heu! quid
» hoc est rei? Cœlestem puellam,

» τοιούσδε τυχὸν ἐξέπεμπε τοὺς λόγους,
» πρὸς τὰς ἐκεῖσε συνδραμούσας παρθένους,
» ἢ πρὸς γυναικῶν ποικίλας ὁμηγύρεις
» ἐκεῖθεν ἔνθεν τὴν ὁδὸν ποιουμένας·
» Χθὲς εἶχε πῦρ δίψης με, καὶ λαβὼν ὕδωρ,
» (τυχὸν γὰρ οὕτω τὴν ὁδὸν διηρχόμην),
» ὡς ἄμβροτον ῥοῦν ἐξέπινον εἰς κόρον.
» Μέμνησο τῆς χθές· σὺ γὰρ ἡ διδοῦσά μοι.
» Ἀλλ' ὁ πτερωτὸς, ὁ θρασύσπλαγχνος μόνος
» Ἔρως δυσαντίβλεπτος, ὁπλοτοξότης,
» κώνωψ φανεὶς ὤλισθεν ἔνδον τοῦ σκύφου·
» ὃν καὶ πεπωκὼς, γαργαλίζομαι τάλας
» ἐκ τῶν πτερύγων ἔνδοθεν τῆς καρδίας,
» καὶ μέχρι τοῦ νῦν (τῆς ὀδύνης! τοῦ πόνου!)
» κνήθει με, καὶ δάκνει με, καὶ κακῶς ἔχω.
» Τέως μαλαχθεὶς οὗτος ὀψὲ καὶ μόλις,
» ὁ τῶν βροτῶν τύραννος αὐθάδης Ἔρως,
» πέμπει με πρὸς σὲ τὴν ἰάσουσαν μόνην
» τὸ τραῦμα καὶ τὸ δῆγμα καὶ τὴν καρδίαν·
» πέμπει με, καὶ δέχου με ταῖς σαῖς ἀγκάλαις,
» οὐδὲν ξένον ποιοῦσα· ναὶ δέχου, δέχου.
» Ἄλλος μετ' αὐτὸν ἀντέφησεν εὐθέως·
» Ἰού! Τί ταῦτα; Τὴν κατάστερον κόρην

» τὴν πολλὰ βακχεύουσαν ἐν κάλλει πάλαι,
» ὡς ἡ Λαῒς τὸ πρῶτον ἡ Κορινθία,
» τρύχει νόσος δύςηνος. Ὢ κακὴ νόσος!
» Ἡ δ' εὐτραφὴς σὰρξ, ὡς ὁρῶ, κατεςάλη.
» Μὴ τοῦτο, μὴ, μὴ τοῦτο! ῥῶσιν, σὰρξ, λάβε·
» ὄλοιτο πᾶσα τηκτικὴ καχεξία·
» οὐ γὰρ γυναικὸς σὰρξ τις ὄλλυται μία·
» ἀλλ' οὖν σὺν αὐτῇ καὶ φίλων πληθὺς πόση!
» Ἐντεῦθεν ἄλλην ἄλλος ἰδὼν ἀντέφη·
» Νεύεις κάτω, ποθοῦσα καὶ ποθουμένη,
» ὁδοιποροῦντος τοῦ φιλοῦντος πολλάκις,
» καὶ ςέρνα καὶ πρόσωπον ἐγκρύπτειν θέλεις,
» ζώνην δὲ τὴν σὴν ἀκρολυτεῖς ἀθρόον,
» καὶ τῶν ποδῶν σου τοῖς ἁπαλοῖς δακτύλοις
» τὴν προςυχοῦσαν ἐγχαράττεις γῆς κόνιν·
» αἰδοῦς τὰ σεμνὰ ταῦτα, πλὴν οὐ συμφέρει.
» Οὐκ οἶδεν αἰδὼ Κύπρις, οὐδ' Ἔρως ὄκνον·
» εἰ γοῦν θέλεις τοσαῦτα τὴν αἰδὼ σέβειν,
» ἐμοὶ χαρίζου κἂν τὸ νεῦμά σου μόνον.
» Τορὸν δὲ πάλιν ἄλλος ἀντεκεκράγει·
» Ὡς εὐχαριςῶ τῇ πολιᾷ μυρία!
» Καλῶς δικάζει καὶ καλῶς πάντα κρίνει.
» Ἀρωγός ἐςι τῆς Κύπριδος, ὡς βλέπω,

» egregia nuper ferocientem pulchritudine, » Lais ut olim Ephyrea, tristis urget morbus. » Ah morbum crudelem! Nitida cutis jam est » marcida: absit, oh! absit! Vires, corpus, as- » sume. Cesset qua maceratur habitudo pra- » va humorum. Non enim mulierculæ cor- » pusculum unius disperit, sed simul dispe- » reunt amici quam plurimi.* Tunc alius alia » conspecta cecinit: Oculos dejicis decoros, » o tu quæ amas et amaris, si forte transierit » amator, pectusque et vultum abscondere » tentas, et zonæ limbum contrectas ungui- » culis, tenerisque pedum digitis terræ li- » neas inscribis varias. Sancti hæc sunt signa » pudoris: sed cui bono? Pudorem Cypris » non novit, nec timorem Amor. Quod si » adeo pudori litare velis, me saltem nutu » tuo bea. At rursus alius clara voce incla- » mavit: O quantas canæ refero senectæ gra- » tes! Optime judicat omnia dispensatque. » Veneri, nunc video, auxiliatrix adest,

» castigans si quæ fuerunt in amore ferocio-
» res. Quæ cincinnorum gloriabatur elegan-
» tia, longos nunc videt defluere capillos. In
» album mutatur quod olim flavum fuit. Quæ
» supercilia tollebat altius, jam omnem ami-
» sit pulchritudinis gratiam. Papillæ marmo-
» reo quæ pectore olim stabant horridulæ,
» pendent pannosiores : eas longinquius tem-
» pus inclinavit. Anicula, heu! senile quan-
» tum vox tua sonat ! Roscidum nuper la-
» bellum quam est aridum ! Supercilium de-
» cidit, jamque displicet nimis. Abiit, mulier,
» quidquid tibi fuit formosi. Quid nunc tibi
» reliquum est? Exerce mihi lenoniam ar-
» tem. Contumeliose me habuisti; contume-
» liose te nunc habebo, misera. Me propter
» superbo gressu incedebas ; ego nunc te
» propter. Me cruciabas, nostin? jam cru-
» ciare letaliter. Doles? dolui prius. Fers
» gravia? et ipse tuli. Malis tuis edocta, quod
» aiunt, alias mone virgines ut sine mora fa-
» ciles amatoribus se præbeant. » — « Ah !
» Charicles! quàm suavem mihi risum dul-
» cis hæc tua narratio movet ! » Cleander
inquit. « O instantes calamitates!

» ποινηλατοῦσα τὰς σοβαρὰς πρὸς πόθον.
» Ἡ γαυριῶσα βοστρύχων εὐκοσμία
» ὁρᾷ τὸ μακρὸν πλέγμα νῦν διαῤῥέον·
» εἰς λευκὸν ἐτράπη δὲ τὸ ξανθὸν πάλαι.
» Ἡ τὰς ὀφρῦς ὑψοῦσα καὶ διηρμένη,
» ἀφῆκε πᾶσαν ἄρτι τοῦ κάλλους χάριν·
» ὁ μαστὸς ἐστὼς ὄρθιος πρὶν τῆς κόρης
» ὑπεκλίθη· καθεῖλεν αὐτὸν ὁ χρόνος·
» γηραλέον τὸ φθέγμα φεῦ! σοί, πρεσβῦτις·
» τὸ πρὶν δροσῶδες χεῖλος, ὡς αὐαλέον!
» πέπτωκεν ὀφρύς· ἦλθεν εἰς ἀηδίαν·
» τὸ πᾶν δέ σοι παρῆλθε τοῦ κάλλους, γύναι.
» Τί λείπεταί σοι; δεῦρο μαστρόπευέ μοι.
» Ὕβριζες· ὑβρίσθητι νῦν, τρισαθλία.
» Παρέτρεχές με· συμπαρατρέχω δέ σε.
» Ἔπληττες, οἶδας· ἀντιπλήττου καιρίως.
» Ἀλγεῖς; προήλγουν. Δυσφορεῖς; ἐδυσφόρουν.
» Παθοῦσα καὶ μαθοῦσα νῦν, τὸ τοῦ λόγου,
» δίδασκε πάσας τὰς προλοίπους παρθένους
» ὑποκλίνεσθαι τοῖς ἐρῶσι ταχέως.»
» Ὤμοι, Χαρίκλεις, οἷος ἄρτι μοι γέλως
» ἐκ σῶν μελιχρῶν ἦλθε διηγημάτων!»
Κλέανδρος εἶπεν. » Ὦ κακῶν προκειμένων!

» Πλὴν ἀλλὰ καί σε μειδιῶντα νῦν βλέπω·
» καί τοι προεῖπας ἐν καταρχῇ τοῦ λόγου
» τὰ κακὰ σαυτὸν οὐκ ἀδακρύτως λέγειν.»
» Ἐῶ » Χαρικλῆς εἶπε » τὸν πολὺν λόγον
» ὃν εἶπεν ἄλλος συμποτῶν μοι γνησίων.»
» Μὴ, πρὸς Δροσίλλης! » Κλέανδρος ἔφη.
» Ἄκουε λοιπὸν ῥημάτων μελιῤῥόων.
» Φιλεῖς τὸν ἀνδρόθηλυν, ὡς ἠκηκόειν,
» μαινὰς, σοβὰς, τάλαινα, πρέσβα παρθένε.
» Θάῤῥει τὰ γαςρὸς, οὐ γὰρ ἐγκύμων γένῃ,
» κἂν καὶ μετ' ἀνδρῶν συγκλιθήσῃ μυρίων·
» κἂν Ἡρακλεῖ γὰρ συγκαθευδήσῃς, γύναι,
» κἂν καὶ Πριήπῳ τῷ φιλοίφῳ τοῦ μύθου,
» ἄπαις, πολύπαις οὖσα τῶν χρόνων πάλαι,
» ἄπαις μενεῖς· καλεῖ γὰρ ὁ Πλούτων κάτω.
» Παύθητι κορύζουσα· ναυςόλου, γύναι.
» Ἐξεῖπε ταῦτα καὶ πρὸς ἄλλην αὐτίκα·
» Βαβαί! παλαιὸς ὡς διέψευςαι λόγος!
» Τρεῖς φησὶ τὰς Χάριτας, ἀλλ' ὁ σὸς, Κόρη,
» ὀφθαλμὸς εἷς Χάριτας αὐχεῖ μυρίας.
» Αἶ, αἶ! τεφροῖς με τῇ καμίνῳ τοῦ πόθου,
» καὶ πυρπολεῖς τὰ σπλάγχνα καὶ τὴν καρδίαν.
» Ὦ μιαρὰ παῖ, τοῦτο πολλῆς ἀγάπης;

» Attamen et te nunc quoque subridentem
» video, esti dixeras initio sermonum te sine
» lacrymis tua non posse mala narrare. »
Cui Charicles : « Omitto alia proliziora quæ
» dixit convivarum amicorum alius. » « Ne
» per Drosillam omitttas, » Cleander ait. —
« Accipe igitur reliqua hæc mellita dicteria.
» Audivi te virum quemdam amare vix vi-
» rum, mænas, insana, misera, anilis virgo.
» Ne ventri metuas; non enim fies gravida,
» etsi te sexcenti inierint viri; etsi cum ipso
» dormieris Hercule, vel cum fabuloso illo
» libidinosoque Priapo. Tot olim liberorum
» mater, jam nullos, nullos jam paries libe-
» ros. Te Pluto vocat in Tartara. Desine,
» mulier, ineptiarum, cymbulamque ingre-
» dere. Et statim his aliam verbis compella-
» vit : Papæ ! Quam mendax est fabula ve-
» tus ! Tres narrat esse Gratias; sed ocello-
» rum unus, virgo, tuorum decies millenas
» continet gratias. Ah ! ah ! cupidinis igne
» me vertis in cinerem, et viscera cremas
» pectusque. O mala puella ! amanti optime
» hoccine redditur pretii ?

» Ne supercilia tollas fastuosior; time Vene-
» rem; amatoribus adnuas blande, et mo-
» desto sis animo. Non equidem nescius sum
» minas sæpe puellæ vel asperrimas Veneris
» esse prænuntias, variosque motus et in-
» quietos, ipsumque silentium miram quam-
» dam esse adsensionem. Ad te, crudelis mu-
» lier, lepide capite nuto nictoque oculis.
» Salve coreulum! Adloquium tuum, ah!
» virgo, quam expetendum! Odium tuum,
» quod vix novi qui procurem, lapidi ipsi
» sensum dabit ad dolorem! Quid agam
» igitur? At, o sagittifer Amor, unus solus-
» que vulnus sana quod fecisti! Vastos tra-
» nabo marium tractus, per ignes vestigia
» feram, ad te adeundi caussa. Cæruleis ad-
» nue mihi ocellis, et votorum fiam com-
» pos. Ne me ferias, ne impingas me ad pla-
» gas Amoris inextricabiles: nil tibi fecisse
» proderit. His dictis, alius ad aliam alia
» direxit verba: Oculi tui gravantur cupidine
» pleni, multusque pallor genas obscurat
» tuas. Videris, mulier, caruisse somno.

» Μὴ τὰς ὀφρῦς ἔπαιρε· τὴν Κύπριν τρέμε·
» σύννευε τοῖς φιλοῦσι· μέτρια φρόνει.
» Κόρης ἀπειλὰς δῆθεν ἐκτιναχτρίας
» αὐταγγέλους Κύπριδος ἔγνων πολλάκις,
» τῶν σχημάτων δὲ τὴν πολύτροπον πλάσιν
» καὶ τὴν σιωπὴν, ἀνθυπόσχεσιν ξένην.
» Καὶ πρὸς σὲ ταῦτα τὴν ἀμείλικτον βλέπει
» σημεῖά μοι κάλλιστα. Χαῖρε, καρδία!
» Φεῦ! σῆς ἱμερτῆς προσλαλιᾶς, Παρθένε!
» Ἀποστροφὴ σὴ δυσπαράκλητος τάχα
» καὶ πέτραν αὐτὴν συγκινήσει πρὸς πόνον.
» Τί γοῦν πάθοι τις; Ἀλλ', ὁ τοξεύων Ἔρως,
» τὴν πλῆξιν αὐτὰς ἐξιῶ μοι καὶ μόνος!
» Σοὶ καὶ θαλασσῶν ἐκπεράσω πλημμύραν,
» καὶ πῦρ διέλθω, τοῦ προσελθεῖν σοι χάριν.
» Δὸς χαροπόν μοι νεῦμα, καὶ τὸ πᾶν ἔχω.
» Μὴ πλῆττε, μὴ σύντριβε (κέρδος οὐκ ἔχεις)
» πρὸς τὰς Ἔρωτος λαβυρινθώδεις πάγας.
» Οὕτως ἀπαγγείλαντος αὐτοῦ τὰ τέως,
» ἄλλος πρὸς ἄλλην ἄλλον ἀντέφη λόγον·
» Βαρύνεται σὸν ὄμμα τοῦ πόθου γέμον,
» πολλὴ δ' ἀμαυροῖ τὰς παρειὰς ὠχρότης.
» Ἔοικας ὕπνων ἐνδεὴς εἶναι, γύναι.

» Εἰ μὲν παλαίϛραις ὡμίλησας παννύχοις,
» ὡς εὐτυχὴς ἐκεῖνος, ὄλβιος, μάκαρ,
» ὁ χεῖρας αὐτὰς ἐμβαλὼν σαῖς ὠλέναις!
» Εἰ δὲ πρὸς ἧπαρ πῦρ βαλὼν Ἔρως φλέγει,
» εἴης πρὸς ἡμᾶς μᾶλλον ἐκκεκαυμένη.
» Σὺ νῦν Ἀχιλλεύς· Τήλεφον βλέπεις, γύναι·
» ναὶ, παῦσον, ὡς ἔτρωσας, ἥπατος πόνους·
» εἰ δ' οὐκ ἀρεϛὸν, ἄλλο βάλλε μοι βέλος,
» τὸ δ' ἧπαρ ἄφες, ἀλλὰ καὶ τὴν καρδίαν.
» Τοιαῦτα προσπαίζουσι τοῖς νεανίαις
» ἐφίϛαταί τις τῶν συνήθων ἡλίκων,
» Βαρβιτίων, ἄριϛος εἰς εὐφωνίαν,
» ὃς καὶ προσεῖπεν, ἐγκαθεσθεὶς πλησίον,
» Ἀεὶ τὸ φιλοῦν αὐτόκλητον, φιλότης.
» Συνθεὶς δὲ καλῶς τὴν ἀνὰ χεῖρας λύραν,
» καὶ πρὸς τὸ πλήττειν εὐφυῶς καθαρμόσας,
» ἔρωτος ᾖσεν ᾆσμα τερπνὸν ἡδύνον·
» Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.
» Ἡ Ῥοδόπη ποτ' ἄτιζε τὰ Κύπριδος ἀφρογενείης
» καί ῥ' ἐς ὅλους λυκάβαντας ἐπήνεε συμβιοτεύειν
» Ἀρτέμιδι, ποθέουσα κύνας, ἐλάφους τε καὶ ἵππους,
» τοξοφόρος δονάκεσσιν ἀν' οὔρεα μακρὰ βιβῶσα.
» Φίλεε βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.

» Si luctæ vacasti nocturnæ, ille oh! quam
» felix, fortunatus, invidendusque, cujus
» fuerunt brachia collo nexa tuo! Quod si
» tuum igne feriens jecur Amor te incendit,
» meo præsertim igne flagres! Achilles no-
» vus, mulier, Telephum cernis. Seda, quæ
» vulnerasti, jecinoris dolores : si vero tibi
» non libuerit, saltem aliam corporis ferias
» partem, sed non cor aut jecur. Juvenibus
» talia dicacule ludentibus adest æqualium
» quidam amicorum, Barbitio, canendi peri-
» tissimus, qui prope adsidens, Semper, in-
» quit, amice, amicus venit invocatus : et
» apte concinnans quam manibus ferebat ly-
» ram, et ad digitorum pulsum egregie dis-
» ponens, amatorium carmen suave dulce-
» que cecinit : Barbitionem ama, formosa
» dilectaque Myrto. Rhodope olim neglexit
» Veneris leges, et per longos annos solam
» cum Diana vitam vivere statuit, canibus et
» equis gaudens cervisque, cum arcu et sa-
» gittis per altos gradiens montes. Barbitio-
» nem ama, formosa dilectaque Myrto.

» Venus ægre tulit, et in hanc filium incita-
» vit, filium sagittiferum, et adversus Rho-
» dopen ipsum instruxit armis. Illa cervam
» silvicultricem jaculo petebat: in Rhodopen
» Veneris filius fatalem intendit arcum. Bar-
» bitionem ama, formosa dilectaque Myrto.
» Gloriabatur elata nimis, at vulnus sensit.
» Jaculum Amoris fuit ocius. Cerva doluit hu-
» meros, et in medium nemus se corripuit; at
» Rhodopæ et cor doluit et præcordia, in qui-
» bus letale et intolerandum Amor fixit jacu-
» lum. Barbitionem ama, formosa dilectaque
» Myrto. Indoluit; ingemuit, quippe quæ tota
» præda cupidinis amabat Euthynicum. Erat
» et ipse vulneratus. Alatus enim ille puer eum
» ferierat, et in virginem incenderat. Se invi-
» cem conspexerunt, Amorque flammam exci-
» tavit. Barbitionem ama, formosa dilecta-
» que Myrto. Opus ergo consummatum est,
» et ambo pari fuerunt contacti desiderio.
» Et Amori parens: Nunc odiosa, dixit, vale,
» virginitas? Et tu Venerem noli provocare:
» nimirum nosti quam sit gravis: nec meas
» respue preces. Barbitionem ama, formosa
» dilectaque Myrto. Cui nos extemplo: sua-
» viter, care Barbitio, cantilena nos affecit
» tua: sed adpositos tange cum amicis cibos.

» Ἡ Κύπρις ἐςύγνασε· τὸν υἱέα τῆδ' ἐποτρύνει
» τόξ' ὤμοισιν ἔχοντα, καὶ ἀντίον ὥπλισεν αὐτῆς.
» Ἡ Ῥοδόπη πρὸς ἔλαφον ὀρεινόμον ἔγχος ἐνώμα·
» ἐς Ῥοδόπην ὁ Κύπριδος ἀγάςονα τόξα τιταίνει.
» Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.
» Ηὔχεεν, ἀλλ' ἐβέβλητο· ταχύτερον ἔγχος Ἔρωτος.
» Ἤλγεεν ὤμου ἔλαφος, ἐπέτρεχεν ἐς μέσον ὕλης·
» ἐς κραδίην Ῥοδόπη δὲ καὶ ἐς φρένας ἤλγεεν αὐτὰς,
» ἔνθ' ὀλοὸν καὶ ἄτλητον Ἔρως ἔπηξε βέλεμνον.
» Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.
» Ἤλγεεν, ἐςονάχιζεν, ἐπεὶ πόθος ἤλασεν ἔμπης·
» Εὐθύνικον φιλέεσκε· βεβλημένος ἦν δὲ καὶ αὐτός.
» Παῖς γάρ ὅδ' ὠΐςευσε, καὶ ἐς πόθον ἤλασεν αὐτῆς·
» ἀλλήλους ἐπέδρακον, Ἔρως δ' ἄρα πῦρ ὑπανῆπτε.
» Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ.
» Ἔργον δ' οὖν τετέλεςο, καὶ ἐς πόθον ἤλυθον ἄμφω·
» παρθενίην δ' ἀπόειπεν ἄτλητον Ἔρωτος ἀνάγκη.
» Φείδεο καὶ σὺ Κύπριδος· ἔγνως ῥά ἑ ὀμβριμόθυμον·
» μηδὲ λόγοις ἀνάνευε λιταζομένη παρ' ἐμεῖο.
» Φίλεε Βαρβιτίωνα, εὔχροε πότνια Μυρτώ. »
» Ἥδυνας ἡμᾶς, προσφιλὲς Βαρβιτίων,
» ἔφημεν εὐθὺς, ἀλλ' ἐφάπτου κειμένης
» τῆς τῶν συνήθων ποικίλης πανδαισίας.

» Ἔφαγε πεισθεὶς, μέχρις ἦλθεν εἰς κόρον·
» καὶ δεύτερον γοῦν εὖ διαθεὶς τὴν λύραν,
» τὴν δεξιὰν ἤρεισεν εἰς γῆν ὠλένην
» (λαιὸς γὰρ αὐτὸς εἰς τὸ πλήττειν ἐξέφυ),
» καὶ τερπνὸν ᾖσε καὶ μελίφθογγον μέλος·
» Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε.
» Παρθενικὴ, χαρίεσσα, ἐπήρατος ἦν ποτε Σύριγξ
» κούρη, ψυχοδάμεια, εὔχροος, ἀργυρόπεζα.
» Πὰν ἐσιδὼν ἐσέδραμεν ἐνὶ κραδίηφι πατάσσων.
» Ἐσθλὴ πρόσθε πέφευγε, δίωκεν ὄπισθεν ἀμείνων.
» Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε.
» Ἐν λειμῶνι Σύριγξ δὲ προήλυθεν εἰς καλαμῶνα·
» γαῖα δ' ὑπὸ ϛέρνοισιν ἐδέξατο παρθένον αὐτήν.
» Αὐτὰρ ὁ Πὰν μεμάνητο· Σύριγγα γὰρ ὤλεσε κούρην.
» Φυλλάδος ἔμπης ἥψατο καὶ καλάμους διέτμηξεν.
» Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε.
» Κηροχύτους δ' ἐπέπηξε, συνήρμοσε χείλεσιν ἐσθλοῖς,
» φίλεεν ἠδ' ἄμπνυτο· πνοὴ δὲ κάλαμον ἐσῆλθε,
» καὶ μέλος ἡδὺ σύριγξε, τὸ φάρμακόν ἐϛιν ἐρώτων.
» Καὶ σὺ μισεῖς ϛέργοντα καὶ οὐ ποθέοντα ποθεῖς με.
» Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε.
» Σχέτλιος ὅσσ' ἐμόγησα! τί τὸν φιλέοντ' ἀποβάλλῃ;
» Ὡς ὄφελές μοι κάλαμος, ἠὲ δάφνη τεθαλυῖα,

» Audiit non invitus, cumque illum satietas
» edendi cepit, rursus dispositis lyræ nervis,
» et dexteriore terram premens cubito (nam
» læva chordas numerabat), dulce cecinit
» mellitumque carmen : Quam amo quis
» vidit? Narra sis, amice mihi. Syrinx fuit
» olim virgo, gratiosa, amabilis, tenera,
» animorum domina, formosa, pulchrisque
» decora pedibus. Pan vidit hanc, et adcurrit
» pectore palpitante. Virgo fugit velox, in-
» sequitur velocior deus. Quam amo quis vi-
» dit? Narra sis, amice mihi. Pratense Syrinx
» venit ad arundinetum, terraque aperto
» sinu virginem admisit. Pan furit amens
» amissa puellula. At folia contrectavit, cala-
» mosque secuit. Quam amo quis vidit? Nar-
» ra sis, amice, mihi. Et ceræ compagine inter
» se junxit, doctisque admovit labiis, oscu-
» latusque, insufflavit; flatusque calamum
» pererrans suavem effecit sonum amoris me-
» dicinam. Et tu odisti amatorem me tuum,
» nec amantem redamas. Quam amo quis
» vidit? Narra sis, amice, mihi. Ah! miserum
» me! Quanta tuli mala! Cur amantem res-
» puis? Oh! utinam fieres calamus, viri-
» dansve laurus

» essesque, cupressus umbrosa altaque, nym-
» pha quam olim Phœbus vulneravit negantem
» concubitus. Quam amo quis vidit? Narra
» sis, amice, mihi. Et animum meum dolen-
» tem sauciumque mulcens, calamis luderem
» animatis, vel tua coronatus fronde Amo-
» ris ignes restinguerem. Adeo meum circa
» pectus sævit vis acrior! Quam amo quis
» vidit? Narra sis, amice, mihi. His dictis, e
» loco surrexit, et, Huc, adeste, inquit : sal-
» tantes spectemus puellas, nexis invicem
» junctas digitis, et elegantem chori exhi-
» bentes orbem. Insequuntur juvenes, et
» ante alios ille ego Charicles qui tecum fa-
» bulor tantisque versor in malis. Quo enim
» affectam fuisse modo, Cleandre, care vincu-
» lorum socie, miseram putas mentem, ama-
» toriis perculsam cantiunculis? Ibam ergo,
» alios præcurrens, ut aptum mihi selige-
» rem locum unde saltantes possem spectare
» virgines. Tunc lunam vidi in terra cum ipsis
» astris choreas instituentem :

» καὶ σὺ ἔης, κυπάριττε τανύσκιε, ὑψικάρηνε,
» τήν ποθ' ὁ Φοῖβος ἔνυττε μιγήμεναι οὐκ ἐθέλουσαν·
» Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε.
» Καί ποτ' ἐμὸν νόον ἄλγε' ἔχοντα, πεπονθότα τέρπων,
» σαρκοφόροις δονάκεσσι διαμπερὲς ἐκροτάλιζον
» ἢ ςεφανοφορέων σε πυρὸς δρόσον εἶχον ἔρωτος.
» τοίη ἐμὲ κύκλωσε περὶ φρένας ἔσχεν ἐρωή.
» Ἦν ποθέω τίς ἔδρακεν; ἄειδέ μοι, ὦ φίλ' ἑταῖρε.
» Τοσοῦτον ᾄσας, ἐξανέςη τοῦ τόπου,
» καί, Δεῦτε, φησί· τὰς χορευτρίας κόρας
» ἴδωμεν αὐτοῖς ἐμπλακείσας δακτύλοις,
» καὶ κύκλον εὐκίνητον ἐκπονουμένας.
» Εἰπὼν, ὀπαδοὺς εἶχε τους νεανίας
» καὶ πρῶτον ἄλλων τὸν λαλοῦντά σοι ξένον,
» τὸν ἐν τοσούτοις τοῖς κακοῖς Χαρικλέα.
» Τί γὰρ παθεῖν μου τὴν τάλαιναν καρδίαν
» δοκεῖς, φίλε Κλέανδρε συμφυλακίτα,
» ἐρωτικῶν πληγεῖσαν ἐξ ἀκουσμάτων;
« Ὥδευον οὖν, ἔτρεχον ἔμπροσθεν τότε,
» ὡς ἂν ςάσιν σχῶ δεξιὰν πρὸς τὸ βλέπειν
» τὰς τηνικαῦτα συγχορευούσας κόρας.
» Ἐκεῖ σελήνην εἶδον ἐν τῇ γῇ κάτω,
» κύκλῳ μετ' αὐτῶν ἀςέρων φορουμένην.

» τοῦτο Δροσίλλα ταῖς προλείποις παρθένοις.
» Καὶ τοὺς ἐρῶντας ἄχθος, ἄλγος λαβεῖν ἂν
» γνοὺς ἐξ ἐκείνων τῶν προηνωτισμένων,
» Καλὸν μὲν οὖν, Δροσίλλα, πρὸς νοῦν ἀντέφην,
» εἰ μὴ Χαρικλεῖ νῦν κατέστης εἰς θέαν·
» ἐπεὶ δὲ τοῦτο τοῦ θεοῦ Διονύσου
» θέλημα (τί; Κλέανδρε, μὴ συνδακρύῃς.)
» οὐ μέμψις ἐν σοὶ τληπαθοῦντα, Παρθένε,
» τὸν ἐκ θεοῦ σοι νυμφίον Χαρικλέα,
» καὶ καρτερῆσαι κἂν φυγὴν, κἂν κινδύνους,
» κἂν ἁρπαγὴν σὴν, πρὶν τυχεῖν σου τοῦ γάμου·
» καὶ πᾶν τι δεινὸν ἄλλο συγκλώσειέ μοι
» μιτὸς πονηρὸς ἐξ ἀλάστορος Τύχης.
» Τοσαῦτα λέξας καθ' ἑαυτὸν ἠρέμα,
» πάλιν δρομήσας εἰς τὸ πατρῷον πέδον,
» ἀπεῖδον εἰς ἄγαλμα τοῦ Διονύσου,
» ῥίψας δ' ἐμαυτὸν εἰς ἐκείνου τοὺς πόδας
» πνέοντα νεκρόζωον, ἀνεκεκράγειν·
» Ὦ παῖ Διὸς, νῦν θυσιῶν μεμνημένος
» καὶ λιβανωτοῦ τοῦ πάλαι τεθυμένου,
» ἀρωγὸς ἔλθε τῆς Δροσίλλης εἰς γάμον
» ἐμοὶ Χαρικλεῖ τῷ νεαλεῖ πρὸς πόθον·
» κἂν γοῦν τυχεῖν γένοιτο τοῦ ποθουμένου,

» talis enim visa est Drosilla cæteras inter
» puellas. Cumque, ex illis quæ modo audi-
» veram, probe nossem quam valde crucien-
» tur amantes : Sors, mecum dixi, fuerat
» melior, si te, Drosilla, Charicles nunc non
» adspexisset. At quoniam ita voluit Bacchus
» (quid? Cleandre, ne plores), æquum est
» pro te dura pati Chariclem, quem tibi
» Deus dat sponsum, et tolerare fugam atque
» pericula, tuique raptum corporis, ante-
» quam dulci fruatur hymenæo, cæteraque
» omnino mala quæ tristi crudelis Fortuna filo
» mihi perneverit. His mecum tacite dictis,
» patrios per campos rapidis retro gressibus
» ibam; conspectaque Bacchi statua, ad hu-
» jus pedes provolutus, nec adhuc mortuus,
» nec jam vivens, inclamavi : Jove nate,
» nunc sacrificiorum memor et thuris quo te
» olim frequentavi, ades, et Charicli mihi,
» amoris novitio, consule Drosillæ nuptias
» optanti. Quod si mihi detur cupito potiri,

» pluribus non sine honoribus tuum patiar » decus. Te propter, Bacche, ex urbe egres- » sus sum, et pietatis præmium vulnus grave » tuli; intus enim flamma cor depascitur, » quam finiet osculum, non aquarum vis. » Atque ita Baccho adprecatus, rapiendam » virginem animo destinabam, putans et me » posse dextre rem peragere, comitesque » ejus callide latere. Optat enim omnis » amans illum statim occupare diem quo » possit plene desiderio suo caro potiri. Re » igitur perpensa probe, audacique hoc con- » silio mature considerato, cum intelligerem » me non posse facile et expedite quod me- » ditabar perficere, nisi conscia facti ipsa virgo » foret, amorem Drosillæ meum significo, » aperio consilium, quidque sit agendum » declaro et simul quam mente agito rapi- » nam. Admissæ, quam miseram, mulier- » culæ ad hæc officia dexterrimæ, dixit, nec » sine suspiriis, alteri se jam desponsam esse » conjugii ritibus. Ad aliam igitur artem con- » fugi,

» οὐκ ἀμελήσω πλειόνων σοι θυματων.
» Ἐξῆλθον, ὦ παῖ Διόνυσε, σὴν χάριν,
» καὶ πικρὸν ἦλθον ἀντικερδάνας βέλος·
» τὸ πῦρ γὰρ ἐντὸς βόσκεται τὴν καρδίαν,
» ὃ σβεννύει φίλημα πάντως, οὐχ ὕδωρ.
» Οὕτως ἐπειπὼν τῷ Θεῷ Διονύσῳ,
» εἰς ἁρπαγὴν ἕτοιμος ἦν τῆς παρθένου,
» ἧς καὶ τυχεῖν ἔσπευδον ἀμφιδεξίως,
» καὶ τοὺς ὀπαδοὺς εὐφυῶς λεληθέναι.
» Ἐπεύχεται γὰρ ἡ φιλοῦσα καρδία
» καταλαβεῖν τάχιστα καθ' ἣν ἡμέραν
» κατατρυφᾷν δύναιτο τοῦ φιλουμένου.
» Γνοὺς οὖν τὸ πρᾶγμα καὶ σκοπήσας τὸ θράσος,
» ὡς οὐκ ἂν ἄλλως εὐχερῶς ἀκωλύτως
» τὸ πᾶν ἀπαρτίσαιμι τοῦ σκοπουμένου,
» εἰ μὴ συνίστωρ ἡ κόρη γένοιτό μοι,
» δῆλον καθιστῶ τὸν πόθον τῇ παρθένῳ,
» ἀνακαλύπτω τὸν σκοπὸν, τὸ πρακτέον,
» καὶ τὴν κατὰ νοῦν ἁρπαγὴν προμηνύω.
» Αὕτη προλαμβάνουσα τὴν ἐσταλμένην
» (γυνὴ γὰρ ἦν πρὸς ταῦτα δεξιωτάτη),
» ἄλλῳ κατηγγύητο τοῖς γάμου νόμοις,
» εἶπε πρὸς αὐτὴν ἡ κόρη μετὰ πόνου.
» Πρὸς δευτέραν οὖν μηχανὴν ἀποβλέπω,

» δι' ἧς, συνεργοῖς τοῖς φίλοις κεχρημένος,
» ἀκινδύνως λάβοιμι τὴν ἐρωμένην·
» ἀλλ' ἥδε προφθάνουσα ταῦτα καὶ πάλιν,
» ψυχῆς παθούσης ὑπέδειξεν ἐμφάσεις,
» δι' ἀγγέλου μοι τῆς προαπεσταλμένης
» τὰ κρυπτὰ μηνύουσα καρδίας πάθη,
» ὡς εἶδεν, ὡς ἔπαθεν εὐθὺς ἐξ ἴσου,
» ὡς ἀντετρώθη τῇ Χαρικλέος θέᾳ,
» καὶ προσλαβεῖν θέλει με τοῦ γάμου νόμοις.
» Ὡρισμένον γοῦν ἀντεμήνυσα χρόνον,
» καθ' ὃν συνέλθω πρὸς λόγους τῇ παρθένῳ.
» Προσῆλθον, εὗρον, εἶδον αὐτὴν ἀσμένως·
» λόγους δεδωκὼς, ἀντεδεξάμην λόγους·
» ὅρκοις συνεσχέθημεν ἀλληλεγγύοις·
» ὁ Διόνυσος ἐμπεδῶν ἦν τοὺς λόγους,
» ληφθεὶς παρ' ἡμῶν ταῖς ἐνόρκοις ἐγγύαις·
» καὶ μέχρις αὐτοῦ τοῦ Δρακόντος λιμένος
» (οὕτω γὰρ ὠνόμαστο τοῖς ἐγχωρίοις),
» μετὰ Δροσίλλης ἔδραμον τῆς παρθένου,
» καὶ ναῦν ἀποπλεύσουσαν εἰσδεδορκότες,
» ταύτης ἑαυτοὺς ἔνδον ἐντεθεικότες,
» ἐναυστολοῦμεν οὐριοδρομωτάτως
» ὑπὸ προπομπῷ τῷ θεῷ Διονύσῳ·
» αὐτὸς γὰρ ἦν μοι νυμφαγωγῶν τὴν κόρην,
» ἐμοὶ παραστὰς τῇ καθ' ὕπνους ἐμφάσει,
» πρὸ τοῦ προβῆναι τοὺς ἐς ἀλλήλους λόγους.

» si forte amicorum usus auxilio, possim tute » amatam rapere. At Drosilla consilium hoc » rursus antevertens, per mulierem eam » quam ipsi ante miseram, mihi signa dedit » animi amantis, tacitaque detexit pectoris sui » mala : ut viderit, ut perierit ocius ; ut viso » Charicle vicissim acceperit vulnus ; ut me » sibi stabili velit connubio jungere. Horam » inde constitui qua possem cum ea sermo- » cinarier. Veni ; inveni, vidi Drosillam lu- » bens, mutuorumque inter sermonum vi- » ces, mutuis nos invicem constrinximus ju- » ratisque sponsionibus, quas firmavit Bac- » chus, cujus numen rite contestabamur ; et » ad portum usque Draconis (nam sic in- » colæ illum nomine celebrant), cum Dro- » silla aufugi, navemque jamjam solventem » conspicati, conscendimus, et felicissime, » duce et auspice Baccho, navigamus. Ipse » enim mihi puellæ nuptias conciliaverat, » noctu in somniis visus, antequam inter » nos sermones conferremus. »

DROSILLÆ ET CHARICLIS

RERUM

LIBER QUARTUS.

« Ergo humidos placidi æquoris fluctus
» rate secuimus, ad quartæ lucis vespertinum
» tempus. Ecce piraticæ classis remi sonitu
» magno nostrum percellunt animos, non au-
» res tantum, qui isto vecti quo dixi navigio
» recta faciebamus iter. Jamque giganteo qui
» cœlum cursu metitur, lucifer terram subie-
» rat; et vespera tota late loca tenebrante,
» non poteramus piratas probe cernere. At
» illi majore nisu cursum properantes, ma-
» nibusque pedibusque egregie protensis ut
» velocius triremes volarent, remos summa
» vi agitabant, marisque dorsum verbera-
» bant

ΤΩΝ

ΚΑΤΑ ΔΡΟΣΙΛΛΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

» ΩΔΟΙΠΟΡΟΥΜΕΝ τοιγαροῦν δι' ὁλκάδος
» ὑγρὰν θαλάσσης λειοκύμονος τρίβον,
» ἐς ἥλιον τέταρτον ἄχρις ἑσπέρας·
» καὶ θροῦς ἐρετμοῦ ληστρικῆς ναυαρχίας
» εὐθυπλοοῦσιν ἐμπεσὼν, ἐπεκτύπει
» καὶ τὸν λογισμὸν, οὐ γὰρ ἀκοὰς μόνον,
» τῶν ἐντὸς ἡμῶν ἥσπερ εἶπον ὁλκάδος.
» Τῆς ἑσπέρας γοῦν πανταχοῦ γνοφουμένης
» τῷ γῆν ὑπελθεῖν τὸν γίγαντα φωσφόρον,
» οὐκ εἴχομεν σφᾶς ἐντρανέστερον βλέπειν·
» ἀλλ' οἵδε συννεύσαντες εἰς μείζω δρόμον,
» καὶ χεῖρας ἐκτείναντες ἀλλὰ καὶ πόδας,
» ὡς τὰς τριήρεις εὐδρομώτερον τρέχειν,
» κωπηλατοῦντες ἦσαν ἐξ ὅλου σθένους,
» τὴν τῆς θαλάσσης συῤῥαπίζοντες ῥάχιν

» γυμναῖς πρὸς εὔπλουν εὐσθενούσαις ὠλέναις,
» καὶ τῇ καθ' ἡμᾶς ἐγγίσαντες ὁλκάδι
» τὰ σφῶν ἑαυτῶν ἐξεγύμνωσαν ξίφη.
» Οἱ γοῦν σὺν ἡμῖν, ὡς ἄριστοι ναυτίλοι,
» καίτοι πρὸς αὐτοὺς τοὺς θρασεῖς ξιφηφόρους
» πενιχρὸν ὄντες εὐαρίθμητον στίφος,
» ἀναλαβόντες ἀνδρικῶς τὰς ἀσπίδας,
» τούτοις ξιφηφοροῦσιν ἀντεναυμάχουν·
» ἔσφαττον, ἐσφάττοντο, μὴ πεφρικότες
» τὴν τῶν τοσούτων πειρατῶν ἀμετρίαν·
» τὸ τῆς θαλάσσης ἐξεπορφύρουν ὕδωρ,
» καὶ μέχρι νυκτὸς ἀντέτυπτον εὐστόχως.
» Ἀλλ' ὀψὲ τὴν ναῦν ἑλκύσαντες ἐκ μέσου,
» καὶ συμπεσόντων ἐν μάχῃ τῶν πλειόνων,
» εἰς χέρσον ἐξέδωκαν ἠσθενηκότες,
» ἣν καὶ λιπόντες ἔμπλεων βαρυμάτων·
» τοῦ κυριαρχήσαντος ἠρημωμένου,
» ἔφευγον εἰς φάραγγας, εἰς ὄρη μέσα.
» Τούτοις φυγῇ ζητοῦσι τὴν σωτηρίαν
» κἀγὼ συνεκβὰς ἐκ μάχης τραυματίας,
» μετὰ Δροσίλλης παρθένου, συνειπόμην.
» Ἔσπευδον, εἶχον, εἷλκον αὐτὴν τὴν κόρην,
» ἐχειραγώγουν εἰς ἐπικρήμνους τόπους,

» nudis validisque lacertis : et mox nos- » træ propiores naviculæ, enses vagina de- » nudarunt. Itaque nostri homines, nautæ » fortissimi, quamvis numero pauci impa- » resque audacium piratarum multitudini, » arreptos viriliter clypeos hostium gla- » diis opponebant : necabant, necabantur- » que, non veriti turbam prædonum infini- » tam. Rubescebat æquor sanguine, et ad » noctem usque fortiter restiterunt ; tunc » denique navem e medio conflictu subtrac- » tam ad littus applicuerunt, jam prorsus » invalidi, majori parte suorum inter pu- » gnandum amissa, ipsoque duce perempto ; » hancque mercium plenam relinquentes, » per convalles aviaque montium dilabuntur. » Quos fuga sibi quærentes præsidium, ipse » e prælio saucius, relicta nave, cum Dro- » silla, insequebar. Properabam ; tenebam, » trahebam puellam, manu eam ducens per » loca præalta,

» donec reperto loco densis ramorum teg-
» minibus umbroso, latentes una consedi-
» mus. At cum postera lux cœlo affulsit, de
» summo monte prospectantes, cernimus
» infra vastæ molis ignem, conjicimusque
» immanium illorum prædonum incendio
» navem nostram flagrare, quam mercibus
» vacuam in solum traxerant. Deinde cum
» huc illuc dubii oculorum acies intendere-
» mus, summitatem quamdam turribus mu-
» nitam videmus, sed fere per nebulam :
» nam procul erat. Et ambo ad hanc urbem
» cursu tendentes, longumque ab orto mane
» ad usque vesperam iter emensi, læti tan-
» dem muris succedimus, devitato piratico
» furore. At urbs illa Chariclem, ut te,
» Cleandre, manibus debuit tradere Par-
» thicis, et, cum carissima heu ! Drosilla,
» me maris elapsum periculis, diræ iterum
» injicere malorum procellæ. Etenim cum
» cives ex urbe essent egressi,

« ἕως συνηρέφειαν εὑρόντες κλάδων
» ταύτῃ συνιζήσαμεν ἐγκεκρυμμένοι.
» Ἐς αὔριον δὲ λαμψάσης τῆς ἡμέρας,
» ὄρους ὑπερκύψαντες, εἴδομεν κάτω
» πυρκαϊὰν εἰς ὕψος ἐκτεταμένην·
» εἰκάζομεν δὲ πυρπολεῖν τὴν ὁλκάδα
» λῃστὰς ἐκείνους τοὺς ἀπηγριωμένους,
» φόρτου κενὴν ξύμπαντος ἐξειλκυσμένην.
» Ὡς γοῦν ἐκεῖθεν ἔνθεν ἠπορημένοι
» τὰς φωταγωγοὺς ἐξετείνομεν κόρας,
» εὔπυργον ὕψος καθορῶμεν εὐθέως,
» λεπτῶς, ἀμυδρῶς· ἦν γὰρ ἡμῶν μακρόθεν.
» Ἄμφω δὲ συνδραμόντες ὡς πρὸς τὴν πόλιν.
» ὀψὲ προσεγγίσαμεν αὐτῇ καὶ μόλις,
» ἐκ φωτὸς ἀρχῆς ἄχρις αὐτῆς ἑσπέρας·
» ἣν καὶ συνεισέδυμεν ἐκπεφευγότες
» τὴν ἐν θαλάσσῃ λῃστρικὴν ἀστοργίαν·
» κἂν καὶ Χαρικλῆν, ὡς Κλέανδρον, ἡ πόλις
» ἔμελλε χερσὶ Παρθικαῖς δεδωκέναι,
» καὶ τοὺς θαλασσῶν ἐκφυγόντα κινδύνους,
» πόνων ἀνάγκαις ἐμβαλεῖν με δευτέραις
» μετὰ Δροσίλλης ὦ θεοί! τῆς φιλτάτης.
» Τῶν γὰρ κατοίκων ἐξιόντων τὴν πόλιν,

» αὖθις συνεξέβημεν, ἐκτελουμένης
» λαμπρᾶς ἑορτῆς τῶν Διὸς γενεθλίων.
» Τὸ Παρθικὸν δὲ δυσμενέστατον φῦλον
» οὐκ οἶδ᾽ ὅθεν προῆλθε· πλὴν συλλαμβάνει,
» καὶ τῆς ἑαυτοῦ μέχρι πατρίδος φέρον,
» εἰς τὴν φυλακὴν τὴν παροῦσαν εἰσάγει. »
Τοιοῖσδε πολλοῖς ἀσχολούμενοι λόγοις
ἀλληλοπενθεῖς ἦσαν οἱ νεανίαι,
Κλέανδρος ἅμα καὶ Χαρικλῆς οἱ ξένοι.
Ὁ βάρβαρος δὲ Κρατύλος μετ᾽ ὀφρύος
αὐτῇ Χρυσίλλῃ συγκαθεσθεὶς εἰς ἕω,
εἶχε πρὸς αὐτῷ καὶ τὸν υἱὸν Κλεινίαν·
καὶ τοὺς ἁλόντας αἰχμαλώτους δεσμίους
ἐκ τῆς φυλακῆς ἐγκελεύεται φέρειν.
Ἔστησαν ἐξαχθέντες οἱ φυλακῖται.
Ἔπαθεν εἰς τὸ στέρνον ἡ τοῦ Βαρβάρου
γυνὴ Χρυσίλλα τὸν Χαρικλῆν ἀθρόον
ἰδοῦσα, καὶ πληγεῖσα τοῦ πόθου βέλει.
Ἦν γὰρ ἄχνους τις, χρυσόθριξ, ἐρυθρόχρους,
πλατὺς τὰ νῶτα, ξανθοβόστρυχον κόμην
ἔχων φθάνουσαν ἄχρι καὶ τῆς ὀσφύος·
χεῖρας δὲ λεπτὰς εἶχε λευκοδακτύλους,
καὶ τοὺς ἀμέτρως ἐκχυθέντας ἀστέρας

» Jovis Natalia solemni festo celebraturi, » egressi sumus et ipsi. Parthorum vero » gens crudelissima, nescio unde impetu » facto, nos corripuit, inque suam abductos » regionem hoc inclusit carcere. » Talibus Cleander et Charicles longiuscule sermonibus indulgentes, suam vicissim sortem deplorabant. At mane Barbarus Cratylus, Chrysillæ adsidens, ferocior vultu, filiumque Cliniam sibi habens ad latus, captivos ad se ex carcere trahi jubet. Qui cum adstarent, Barbari conjux Chrysilla, conspecto Charicle, statim cupidinis telo pectus vulnerata fuit. Charicles enim genas glabellus erat, spectandus flavis capillis, roseoque colore; latus humeros; et aurei crinium globi ad lumbos usque demissi pendebant. Manus erant modicæ, albique digiti; et pulchritudine vultusque splendore fulgurante innumeras quibus

spargitur

cœlum stellas obscurabat. Quos adstantes intuens Parthorum rex, alios satrapis dividit suis, et « accipite » ait » Parthi, pretiosa for» tunæ faventis dona »; alios jubet abire liberos; carceri alios mœstiter reddit quos parentum caritas donis redimeret; multos gladio necandos tradit, ratus hospitum sanguinem acceptum fore Diis, quorum ope domum redierat incolumis : Cliniæ autem Chariclem dono dedit, non petenti quidem (nam Cliniæ mens in Drosilla hærebat omnium pulcherrima fœminarum); sed qui magnum esset patris filio donum. Etenim omnibus forma captivis præstabat, eratque pulchris pulchrior ipsis. Talibus peractis, é solio surrexit, et Deorum numina splendidis propitiatur sacrificiis. At Barbari filius Cratyli Clinias animo æger, amore sævo saucius (nam capta ipsum ceperat puella),

κάλλει καλύπτων καὶ προσώπου λαμπάσιν.
Ἑστηκότας γοῦν εἰσορῶν ὁ Παρθάναξ,
οὓς μὲν μερίζει τοῖς ὑπ' αὐτὸν σατράπαις,
» Μέγιστα δῶρα τῆς συνεργούσης τύχης
» δέξασθε, » φάσκων « Παρθικὴ φυλαρχία· »
οὓς δὲ προπέμπει φῶς ἐλεύθερον βλέπειν·
ἄλλους πρὸς εἱρκτὴν δυστυχῶς ἀντιστρέφει,
δώροις ὅπως λυθεῖεν ἐκ γεννητόρων·
πολλοὺς δὲ καὶ δίδωσι μοῖραν τῷ ξίφει,
δεκτὸν νομίζων αἷμα θῦμα τῶν ξένων
θεοῖς συνεργοῖς εἰς τόπον σωτηρίας.
Χαρίζεται δὲ τὸν Χαρικλῆν Κλεινίᾳ,
οὐχ ὡς ἐκείνου τοῦτον αἰτησαμένου
(ὁ νοῦς γὰρ αὐτοῦ τὴν Δροσίλλαν ἐσκόπει
πασῶν γυναικῶν οὖσαν εὐειδεστέραν),
ὡς ἐκ πατρὸς δὲ δῶρον εἰς υἱὸν μέγα·
ἦν γὰρ ἁπάντων τῶν προεγκεκλεισμένων
ὡραῖος ἰδεῖν, τῶν καλῶν δὲ καλλίων.
Τοσαῦτα πράξας, ἐξανέστη τοῦ θρόνου
καὶ τοῖς θεοῖς ἔθυσε λαμπρὰς θυσίας.
Τετρωμένος γοῦν ἐς μέσην τὴν καρδίαν
ὁ Κλεινίας παῖς βαρβάρου τοῦ Κρατύλου
(καὶ γὰρ ἑάλω τῆς ἁλούσης παρθένου),

τοιαῦτα πολλὰ καὶ τοσαῦτα καὶ τόσα
ἐψιθύριζεν, ἐτραγῴδει τῷ πάθει·
« Δεινὸν πόθος πᾶς· ἂν δὲ καὶ φιλουμένης,
» διπλοῦν τὸ δεινόν· εἰ δὲ καὶ κόρης νέας,
» τριπλοῦν τὸ κέντρον· εἰ δὲ καὶ κάλλους γέμει,
» πλεῖον τὸ δεινόν· εἰ δὲ πρὸς γάμον φέρει,
» πῦρ ἔνδον αὐτὴν βόσκεται τὴν καρδίαν.
» Οὐκ ἔστιν ἰσχὺς ἐκφυγεῖν τὸν τοξότην,
» τὸν πυρφοροῦντα καὶ τὸν ἐπτερωμένον·
» τῷ γὰρ πτερῷ φθάνει με, τῷ πυρὶ φλέγει,
» τῇ τοξικῇ βάλλει δὲ κατὰ καρδίαν.
» Μῦθος δοκεῖ μοι νέκταρ ἢ θεῶν πόσις
» πρὸς σὸν γλυκασμὸν, κρυσταλλόστερνε ξένος.
» Εἰ γάρ σε περκάζουσαν ἄμπελον βλέπω,
» τὸ στέρνον ἐκθλίψει τίς ὡς γλυκὺν βότρυν,
» ἢ γλεῦκος ἡδὺ νεκταρῶδες ἐκχύσει,
» ἢ μυελὸν μέλιτος εὐωδεστάτου;
» Λειμὼν δοκεῖ μοι σὸν πρόσωπον, Παρθένε,
» δούλη Χρυσίλλης μητρὸς εὐειδεστάτη·
» τὸ χρῶμα τερπνὸν οἷον αὐτοῦ νάρκισσου·
» ἄνθος παρειῶν ὡς ἐρυθρόχρουν ῥόδον·
» ὡς κυαναυγὲς ἴον ὀφθαλμοὶ δύο·
» οἱ βόστρυχοί σου, κισσὸς ἐμπεπλεγμένος.

hæc et alia multa dolore amens mussitabat.
« Malum est omnis amor; si amatam ab alio
» amas, malum est duplex; triplex, si puel-
» lam; majus etiam, si pulchram : quod si
» nuptias ambis, tunc flamma cor depascitur
» ipsum. Vis nulla est quæ sagittiferum possim
» deum effugere, igne simul instructum et
» alis. Alis enim me prævertit, igne urit, sa-
» gittis cor transadigit medium. Nectar illud,
» deorum potus, fabula mihi esse videtur,
» præ tua dulcedine, hospes nitidissima.
» Maturæ enim te viti comparo : quis pupil-
» las premet tuas, ut uvam dulcem, vel suc-
» cum exprimet nectareum vel medullam
» mellis odoratissimi? Vultus tuus prato si-
» milis est, Virgo, venustissimæ matris
» Chrisyllæ servula. Color tuus suavis, quasi
» color narcissi; et genarum flos quasi pur-
» purea rosa; ocelli tui quasi viola nigres-
» cens; cincinnuli tui quasi hedera decoriter
» impedita.

» Oh! qui avellam oculorum pupillas a » pulchritudine tua, a conspectu vultus tui! » Quas cum retraho, resistunt, nec cedunt » contra placitum. Amor et plantarum et » ferri et lapidum regnat, non hominis tan- » tum. Ferrum quippe currit ad magnetem, » venerio, ni fallor, igne calens; annuit, » vadit, currit cursu mirando. Videre mihi » videor osculum amborum, amatæ, ama- » toris. O prodigiosus amor! Nec non sæpe » planta plantam amat. Palma in terra non » vult agere radices, ni fœminam arborem » in proximo conseveris. Mare quoque cer- » nit Arethusæ nuptias, ad quam dulcis ra- » pide fertur sponsus, vastus ille Alpheus, » cujus liquor fluit insertus salo nec teme- » ratus. Hæc ausculta, Virgo lapidea corde- » que adamantino, meque sinas in consor- » tium venire formæ incomparabilis. » Atque ita captus amore Clinias, ad musicos concentus vertit animum, talia ad lyram carmina accommodans:

« Ὦ! πῶς ἀφέλκω τὰς κόρας τῶν ὀμμάτων
» τῆς καλλονῆς σου, τοῦ προσώπου τῆς θέας;
» ἀλλ' αἵδε προσμένουσιν ἀνθειλκυσμέναι,
» οὐκ ἐνδιδοῦσαι πρὸς τὸ μὴ δεδογμένον.
» Ἔρως φυτῶν γὰρ καὶ σιδήρου καὶ λίθου
» κρατεῖν ἔοικεν, οὐ γὰρ ἀνθρώπων μόνον.
» Καὶ γὰρ σίδηρος εἰς μαγνῆτιν ἐκτρέχει,
» ἐρωτικόν μοι πῦρ δοκῶν ἔνδον φέρειν·
» ἔνευσεν, ἦλθεν, ἔδραμε δρόμον ξένον·
» ἐμοὶ δοκεῖ φίλημα τοῦτο τῶν δύο,
» ἐρωμένης, ἐρῶντος· ὢ ξένη σχέσις!
» Ἐρᾷ δὲ φυτοῦ φυτὸν ἄλλο πολλάκις·
» φοῖνιξ δὲ πρὸς γῆν οὐδὲ ῥιζοῦσθαι θέλει,
» εἰ μὴ τὸ θῆλυ συμφυτεύσειας πέλας.
» Καὶ πόντος οἶδεν Ἀρεθούσης τοὺς γάμους,
» πρὸς ἣν γλυκὺς πρόεισιν ἁδρὸς νυμφίος
» Ἀλφειὸς εὐρὺς, οὗ τὸ ῥεῖθρον ἐν χύσει
» ὁ συνδυασμὸς οὐ μετατρέπειν θέλει.
» Ἄκουε, πετρόστερνε, χαλκῆ καρδία,
» καὶ δὸς μετασχεῖν καλλονῆς ἀσυγκρίτου. »
Οὕτως ἐρωτικόν τι πάσχων Κλεινίας
πρὸς μουσικόν τι θᾶττον ἐτράπη μέλος,
τοιόνδέ τι τὸ κροῦμα ποιῶν τῆς λύρας·

« Ὦ πῶς, Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
» Ἡ Κύπρις εἰς Ἔρωτα τὸν ταύτης γόνον
» μέσαις ἀγυιαῖς ἐξεφώνει πρὶν μέγα,
» εἴ τις πλανηθὲν συλλάβῃ τὸ παιδίον,
» ἤ που στενωπῶν ἢ μέσαις ἐπ' ἀμφόδοις,
» τὸν δραπέτην Ἔρωτα, τὸν κακεργάτην,
» ὁ μηνυτής μοι λήψεται γέρας μέγα,
» τὸ Κύπριδος φίλημα μισθὸν ἁρπάσει.
» Ὦ πῶς, Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
» Πλὴν ἴσθι μοι τὸν παῖδα τοῦτον τοξότην,
» τὸν δραπέτην Ἔρωτα, τὸν κακεργάτην,
» καὶ πρόσχες αὐτῷ μὴ βαλεῖ σε καιρίως.
» Ἄκουε τούτου καὶ διδάσκου τὸν τρόπον.
» Ἂν προσχαρές τι μειδιῶντα προσβλέπῃς,
» πλήττει τὰ πολλὰ καὶ κατασφάττειν θέλει.
» Ὦ πῶς, Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
» Ἂν συλλαβὼν, θέλοντα προσπαίζειν ἴδῃς,
» βάλλει σε, τοξεύει σε· πρόσχες οὖν κλύων.
» Εἰ δὲ προσορμᾷ καὶ φιλεῖν σε γνησίως,
» ἔκφευγε· πυρπολεῖ σε καὶ καταφλέγει.
» Παῖς ἐστὶ, πῦρ δὲ, τόξα καὶ πτερὰ φέρει·
» καίει, τιτρώσκει, καὶ διώκει, καὶ φθάνει·
» οὐκ ἐξ ἀδήλων φαίνεται πετασμάτων.

» Oh Drosilla! quantopere Cliniam uris!
» Venus olim per medias plateas Amorem
» filium alta voce inclamabat: Si quis vel ali-
» cubi viarum, vel media per bivia vagan-
» tem puerum, Amorem fugitivum et ne-
» quam comprehenderit, index magnum a
» me accipiet indicium; Veneri osculum ipsi
» feret. Oh Drosilla! quantopere Cliniam uris!
» At disce quis sit puer ille sagittifer, Amor
» ille fugitivus et nequam; caveque ne te
» letali feriat ictu. Accipe qui sint hujus
» mores. Ridentem si dulce videris, tunc
» præsertim ferit et occidere cupit. Oh Dro-
» silla! quantopere Cliniam uris! prehensum
» si volentem ludere videris, tunc feritque
» jaculaturque. Monitus ergo cave tibi. Si
» autem adcurrit genuino te osculo tangere
» gestiens, fuge ocyus; te nunc urit, et in-
» cendit. Puer est, at ignem, et arcus, et
» alas habet; urit, vulnerat, persequitur,
» assequitur; ejus volatum oculi cernere non
» possunt.

» Oh Drosilla! quantopere Cliniam uris!
» Corde puer ferino subridet, atque ludum
» ludit insolentem ridenti similis, audax ille
» deus, sagittis gaudens ardentique facula.
» Si quis ergo invenerit et ceperit et indica-
» verit, statim accipiet quod pollicita fui mu-
» neris. Oh Drosilla! quantopere Cliniam
» uris! Narrant fabulæ prosiluisse Pallada
» Minervam Jovis e capite, armatam sapien-
» temque virginem : at te pulchriorem finxit
» Amor; digitisque tuæ matris utero im-
» positis, te duplici ornavit colore, lacteo
» et roseo. Oh Drosilla! quantopere Cliniam
» uris! Et cum te totam fingeret, arma non
» dedit. Etenim tibi nec arcum tribuit, nec
» acutum ensem. Quam satius ad cædes ap-
» tam te fecisset! Arcus autem dat tibi super-
» ciliorum orbes; telaque facit funesta illum
» oculorum conjectum, quo mihi pectus
» transadigis. Oh, Drosilla! quantopere Cli-
» niam uris! Arcus ille quam felix est, Virgo!
» ictus quam certus! Percussus intellexi,

» Ὦ πῶς, Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
» Προσμειδιᾷ γὰρ θηριόστερνος μένων,
» καὶ προσγελᾷν ἔοικε παίζων ἀγρίως,
» ὁ τοξοχάρης, ὁ θρασὺς, ὁ πυρφόρος. 180
» Ὁ γοῦν ἐρευρὼν καὶ λαβὼν καὶ μηνύσας,
» τὸν μισθὸν οἷον εἶπον εὐκόλως λάβοι.
» Ὦ πῶς, Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
» Μῦθος μὲν αὐτὸς ἐκτοκευθῆναι λέγει
» κόρην Ἀθηνᾶν τοῦ Διὸς τὴν Παλλάδα 185
» ἀπὸ κρατὸς πάνοπλον ἔννουν παρθένον·
» σὲ ζωγραφεῖ δὲ μᾶλλον ὡραίαν Ἔρως
» σῆς γαστρὶ μητρὸς ἐμβαλὼν τοὺς δακτύλους,
» βαλὼν τὸ δίχρουν χρῶμα, γάλα καὶ ῥόδα.
» Ὦ πῶς, Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
» Καὶ ζωγραφεῖ πάντως σε μὴ διδοὺς ὅπλα·
» οὐ γὰρ νέμει σοι τόξον, οὐ τομὸν ξίφος· 192
» ὡς κρεῖττον ἦν βάλλειν σε πρὸς φονουργίαν!
» ποιεῖ δὲ τόξα, κύκλα τῶν σῶν ὀφρύων,
» βέλος δὲ πικρὸν, τὰς βολὰς τῶν ὀμμάτων,
» δι' ὧν ὀϊστεύεις με κατὰ καρδίας. 196
» Ὦ πῶς Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
» Ὡς εὔστοχον τὸ τόξον αὐτὸ, Παρθένε!
» ὡς εὐφυὲς τὸ πλῆκτρον! ἐπλήγην· ἔγνων.

» Τὸ τραῦμα πικρὸν οἷον, ἀλλὰ καὶ πόσον!
» Τὸ πρᾶγμα καινὸν οἷον, ἀλλὰ καὶ ξένον!
» Οὐ θανατοῖ τὸ κέντρον· ὢ ποῖος λόγος!
» βάλλον δὲ ποιεῖ ζῆξιν, ἀλλ' αἰωνίαν.
» Ὢ πῶς, Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
» Πλὴν ἀλλ' ἰδοὺ νὺξ ἐςι, τῷ δοκεῖν, Κόρη·
» ἔχω μακρὰς ἐγὼ δὲ τὰς ὁδοὺς ἔτι·
» ἢ προσλαβοῦ σύνδειπνον, εὐνάτηρά σοι,
» ἢ μὴ σθένουσα τοῦτο, δευτέρῳ λόγῳ,
» ὕφαψον ἐκ σῶν χειλέων μοι λαμπάδας·
» ἐπίςαμαι γὰρ ὡς ἀνάψεις, εἰ θέλεις.
» Ὢ πῶς, Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
» Καὶ φαίδρυνόν μοι τὴν παροῦσαν ἑσπέραν,
» καὶ λάμπρυνόν μοι τὸ κατατρόχον σκότος,
» καὶ δὸς πρὸς οἶκον, ὦ φαεινὴ λυχνία,
» δραμεῖν ἄτερ πλάνης με καὶ προσκομμάτων.
» Νοσῶ φρενῖτιν καὶ μεμηνυῖαν νόσον·
» μή μοι φθονήσῃς παυσολύπων φαρμάκων.
» Ὢ πῶς, Δροσίλλα, πυρπολεῖς τὸν Κλεινίαν!
Ὁ γοῦν Χαρικλῆς γνοὺς ἐρᾷν τὸν δεσπότην
πρόσεισιν αὐτῷ γνησιέςερον λέγων·
» Ἐρᾷς, ἐπέγνων, δέσποτά μου, Κλεινία·
» ἐρᾷς ἀδελφῆς τῆς ἐμῆς τῆς παρθένου·

» Vulnus amarum quantumque qualeque !
» Res quam nova quamque prodigiosa ! Os
» teli non necat ; mirum ! sed tabem parit,
» eamque sempiternam. Oh, Drosilla ! quanto-
» pere Cliniam uris ! At ecce, puella, nox cœlo
» præcipitare videtur. Via mihi adhuc longa
» superest : aut me tibi sume cœnæ et lectuli
» socium ; aut, si non potes, saltem accen-
» das mihi tuis ex labellis faculas ; accendas
» enim, sat scio, si velis. Oh, Drosilla !
» quantopere Cliniam uris ! Et præsentem
» illumina mihi vesperam, et quibus premor
» tenebras lumine sparge ; atque, o splen-
» dida lucerna, per te mihi liceat absque
» errore pedumve offensione domum regere
» gressus. Phrenitico morbo mentisque de-
» lirio laboranti mihi ne invideas remedia
» queis sedetur dolor. Oh, Drosilla ! quan-
» topere Cliniam uris ! » At Charicles, in-
tellecto domini amore, ad illum accedit,
verbisque ad veri speciem fictis : « Amas,
» Clinia, here mi : » dixit. « id probe sensi.
» Amas sororem meam virginem ;

» pulchram amas, amas pulcherrimam Dro-
» sillam. Quid hoc novi? Ipse enim servus
» tuus, miser Charicles, infelix, infortunatus,
» hospes, perdite olim amavi teneram puel-
» lam, quacum ora conferre cupidus licet
» non poteram; etenim ad eam adeundi co-
» ram copia non erat mihi. Ægre tandem
» illam vidi, cum e fenestra prospectaret in
» hortum plenum rosarum florumque omni-
» genum; illam vidi, quæ meæ usque menti
» præsens obversatur, tenuem super ocima
» rorem spargentem, et balsama roseis gut-
» tis madefacientem, lotosque et hyacinthos
» et plantarum ordines, liliaque alba, crocos
» et narcissos spissamque florum suaveo-
» lentium multitudinem. Tunc vidi semi-
» nuda brachia, quibuscum nix ipsa non
» certet; tunc vidi digitos nitidissimos, et
» candidum lac provocantes. Ut vidi pulchri-
» tudinem incredibilem, ut perii! Non enim
» e quercu sum procreatus vel lapidibus.
» Et amore abreptus, dixi (nam continere me
» diu non potui): Salve tot florum formosa
» cultrix! Cur et nostri gratia ostiolum non
» aperis?

» ἐρᾷς Δροσίλλης τῆς καλῆς, τῆς παγκάλης.
» Τί τοῦτο καινόν, σὸς γὰρ αὐτὸς οἰκέτης,
» δειλὸς Χαρικλῆς, δυςυχὴς, τλήμων, ξένος,
» δεινῶς ἑάλων ἁπαλῆς πάλαι κόρης,
» ἢ καὶ συνελθεῖν εἰς λόγους οὐκ ἰσχύων,
» καίτοι θέλων πως (οὐ γὰρ εἶχον προσβλέπειν),
» μόλις θυρίδων εἶδον ἐκκρεμωμένην
» εἰς κῆπον ἁδρὸν ἐκ ῥόδων, ἐξ ἀνθέων,
» τὴν πανταχοῦ μοι συμπαροῦσαν εἰς φρένας,
» λεπτὴν δρόσον ςάζουσαν ἐν τοῖς ὠκίμοις,
» καὶ βάλσαμα βρέχουσαν ἐκροῇ ῥόδων,
» λωτοὺς, ὑακίνθους τε καὶ φυτῶν ςίφη,
» καὶ κρίνα λευκὰ, καὶ κρόκους, καὶ ναρκίσσους,
» καὶ πλεῖστον ἑσμὸν ἀνθέων ἡδυπνόων.
» Ἐκεῖ κατεῖδον ἠμιγύμνους ὠλένας,
» αἷς οὐδὲ χιὼν ἀντερίζειν ἰσχύει·
» ἐκεῖ κατεῖδον κρυςαλώδεις δακτύλους
» καὶ πρὸς τὸ λευκὸν ἀντερίζοντας γάλα.
» Ἰδὼν, ἑάλων καλλονῆς ἀμετρήτου·
» μὴ γὰρ δρυὸς προῆλθον ἢ πετρῶν ἔφυν·
» ἁλοὺς, προσεῖπον, μὴ κατασχεῖν ἰσχύων·
» Χαίροις, φυτουργὲ τῶν τοσούτων ἀνθέων.
» Τί καὶ δι' ἡμᾶς οὐκ ἀνοίγεις τὴν θύραν;

» Ἀρ' ἦλθες εἰς νοῦν τοῦ πάθους τοῦ Ναρκίσου,
» ἀποῤῥιφέντος ἐξ ἔρωτος εἰς φρέαρ;
» Μνήμην τε παιδὸς Ὑακίνθου λαμβάνεις
» καὶ τῶν ἐκείνου δυςυχῶν δισκευμάτων,
» πῶς ἐξεκαρτέρησεν ἐκ φθόνου φόνον
» ἀπὸ Ζεφυροῦ τῆς ἐρωτοληψίας;
» Ἔχεις τε πρὸς νοῦν Κύπριν αὐτὴν τὴν πάλαι
» τὴν ἐξερυθριάσασαν ἐκ τῶν αἱμάτων
» τῶν ἐκρυέντων τοῦ ποδὸς τετρωμένου
» ἐκ τῶν ἀκανθῶν τὴν ῥοδώνυμον θέαν,
» Ἀδώνιδος μαθοῦσαν ἄγριον φόνον
» ἐξ Ἄρεος πεσόντος; Ὦ κακοῦ φθόνου,
» καὶ τοὺς ἐρῶντας θανατοῦντος πολλάκις!
» Πλήρης ὁ κῆπος χαρμονῆς καὶ δακρύων·
» καλὴν μὲν αὐχεῖ τὴν φυτουργὸν παρθένον,
» ἐρωτικῶν γέμει δὲ δυσπραγημάτων·
» σὺ δ' ἀγνοεῖν ἔοικας ἃ ξένα κλύεις.
» Οὕτω μὲν αὐτὸς εἶπον αὐτῇ τῇ κόρῃ·
» ἡ δὲ πρὸς αὐτὰ θᾶττον ἀνταπεκρίθη·
» Ὡς ἥδυνάς μου τὴν πονοῦσαν καρδίαν!
» Ἐπῳδὸς εἶ, πανουργὲ, ὡς ὁρῶ τάλας·
» ἀθυμίαν τρέπεις γὰρ εἰς εὐθυμίαν.
» Δείλαιε, πῶς φῇς; βαῖνε τῆς θύρας ἔσω·

» Meministin Narcissi fatum qui præ amore
» in fontem dedit se præcipitem? Num oblita
» es puerum Hyacinthum et luctuosum disci
» jactum, et quomodo perierit furiosum prop-
» ter Zephyri amorem zelotypiamque? Num
» tibi venit in mentem Cypris illa quæ olim
» cruore qui e pede fluebat spinis lacerato
» album rosæ colorem rubro mutavit, cum
» lymphata curreret, audita sæva Adonidis
» morte quem Mars interemerat? Oh! fu-
» nestam zelotypiam, quæ sæpe necat aman-
» tes! Plenus est hortulus lætitiæ dolorisque.
» Pulchræ cultus virginis manu superbit; at
» amatoria ubique exhibet infortunia. Tu
» vero nescire videris quæ tibi miracula nar-
» ro. Sic ego; at illa extemplo: Quam sua-
» viter mentem ægram recreasti! Homo va-
» fer, magum esse te, misera heu! intelligo:
» nam mæstitiam in lætitiam vertis. Impro-
» be, quid ais? Ingreditor ostiolum;

» hortulum cerne; cerne lectulum; et tu » qui rebus didicisti quantum sit malum » amor, recrees me narrationibus tuis. Ex » roseto meo decerpe rosam. Accumbas, » mox ipsa descendam ad te. Sed miser, » quid edes? Nec fructus ullus nec pomum » maturuit adhuc in hortulo: sinum meum » habeto tibi pro pomo. Miselle, si libuerit » decerpe, comede; ac si non matura fuerit » uva ab arbore pendula, acerbarum acinos » preme mammarum. Pro favo suave oscu- » lum capias; et pro arboribus ramisque quos » ulnis amplectitur qui fructum demetere » cupit, ego tibi arbor ero: huc ades; ulnis » amplectere me; pro ramis enim mea habes » brachia. Ego tibi arbor ero: jam ascendas » super me, fructumque demetas melle dul- » ciorem. — Tua mihi deinceps crede omnia, » et me e re nata fidum esse servum expe- » rieris. » Cui Barbari filius Clinias: « Nec » captivus eris nec servus, quod ais, sed » liber, amicus civisque meus;

» τὸ κηπίον θαύμαζε· τὴν κλίνην βλέπε
» καὶ δεξιοῦ με τοῖς διηγήμασί σου,
» πείρᾳ διδαχθεὶς ὡς κακὸν πόθος μέγα.
» Ῥοδωνιᾶς τρύγησον ἐξ ἐμῆς ῥόδα.
» Ἀνακλίθητι· συγκατέρχομαι δέ σοι·
» φάγῃς δὲ τι, δειλαὶε; καρπὸς οὐκ ἔνι·
» κἂν μῆλον οὐχ ὥριμον ἐν τῷ κηπίῳ,
» τὸ στέρνον ἡμῶν ἀντὶ μήλου προσδέχου·
» εἴ σοι δοκεῖ, δύστηνε, συγκόψας φάγε·
» κἂν μὴ πέπειρος βότρυς ἀναδενδράδων,
» στέρνου στρυφνοῦ μοι θλίψον αὐτοῦ τὰς ῥάγας.
» Φίλημα τερπνὸν ἀντὶ σίμβλου μοι λάβε.
» Ἀντὶ περιπλοκῆς δὲ δένδρων καὶ κλάδων,
» ἣν οἶδέ τις δρᾷν καρπὸν ἐκτρυγᾷν θέλων,
» ἐγὼ τὸ δένδρον· δεῦρο προσπλάκηθί μοι·
» ἀντὶ κλάδων ἐμὰς γὰρ ὠλένας ἔχεις·
» ἐγὼ τὸ δένδρον· καὶ προσανάβηθί μοι,
» δρέπου τε καρπὸν τὸν γλυκὺν ὑπὲρ μέλι.
» Ἐμοὶ τὰ σαυτοῦ πάντα λοιπὸν ἀνάθου
» καὶ πιστὸν ὄψει δοῦλον ἐκ τῶν πραγμάτων. »
« Οὐκ αἰχμάλωτος οὐδὲ δοῦλος, ὡς ἔφης, »
τοῦ βαρβάρου παῖς ἀντέφησε Κλεινίας,
« ἐλεύθερος δὲ, συμπατριώτης, φίλος,

» καὶ σατραπικῆς συμμετασχὼν ἀξίας,
» πάντως φανήσῃ κύριος κλήρου τόσου,
» εἰ τῇ Δροσίλλῃ συμμιγῆναι καὶ μόνον
» τῷ Κλεινίᾳ γένοιτο σῇ συνεργίᾳ.
» Ἀλλ', ὦ Χαρίκλεις, ἐντυχὼν τῇ παρθένῳ
» ἄγγελλε ταύτῃ τὴν ἐμὴν ἀχθηδόνα.
» Νόσος με τήκει· σύντομον λόγον μάθε·
» Ἅδης συναρπάζει με καὶ πρὸ τοῦ χρόνου.
» Ὁ λαμπρὸς αὐτὸς ἀστεράρχης φωσφόρος
» ἔδυνέ μοι τοῖς πᾶσιν ἀκτῖνα βρύων.
» Πηγαὶ ποταμῶν συγκινείσθωσαν ἄνω·
» θνήσκω γὰρ ὡς μόρσιμος, ἀλλὰ πρὸ χρόνου·
» ἀνθησάτω καὶ βάτος ἡδύπνουν ῥόδον·
» γένοιτο πάντα νῦν ἐνάλλαξ ἐν βίῳ,
» τοῦ Κλεινίου θνήσκοντος, εἰ μὴ προφθάσει
» ἡ σὴ, Χαρίκλεις, εἰς τὸ σῶσαι στεῤῥότης. »
« Τὰ πρὸς Δροσίλλαν, Κλεινία, θαῤῥητέον, »
ὁ Χαρικλῆς ἔφησε· » μὴ κατηφία· »
τούτοις ἐπειπὼν ἄλλον ἀστεῖον λόγον·
» Κοιμωμένην μέλισσαν ἐν ῥόδοις πάλαι
» τῆς ποντογενοῦς Ἀφροδίτης παῖς Ἔρως,
» οὐκ εἶδεν· ἐτρώθη δὲ δακτύλῳ μέσῳ,
» καὶ συφελιχθεὶς ἐπτερύξατο τρέχων

» inque satraparum cooptatus ordinem, tot » et tantorum eris bonorum dominus, opera » si tua Cliniæ contingat Drosilla tantum » potiri. I, Charicles, et virgini narra quæ » patior. Morbus me macerat. Paucis ad- » verte, docebo. Orcus me ante tempus ra- » pit; astrorum rex splendidus ille sol, qui » cunctos radiis illuminat, mihi jam occidit. » In caput prona suum relabantur flumina: » morior enim fati quidem legi parens, sed » præmaturus. Floreat rubus odorata rosa; » mutentur in mundo cuncta ferantur que in » contraria, Clinia pereunte, ni tuo, Cha- » ricles, valido mox salvus evadam auxilio. » Charicles contra: « Bonam de Drosilla spem » concipe, Clinia: ne despondeas: » et addi- dit lepidum quid: « Amor olim, Veneris ma- » rinæ filius, dormientem in rosis apem non » viderat, fuitque medium punctus digitum. » Tum gemens, avolavit cursitans

» ad matrem : Mater, ait, perii. Anguis me
» pusillus pennatusque vulneravit, apem
» quem coloni vocant. At pulchra saucio
» Cytherea filio, suave ridens, infit : Si api-
» culæ acumen te urit adeo, quantum dole-
» re putas, feris quos sævis, nate, sagit-
» tis? » Talia fatus Cliniæ Charicles, Drosillæque pollicitus nuptias, paululum secessit consultandi causa, non ut Cliniæ Drosillam jungeret, sed potius ut funestum illud evitaret consilium. Statimque ad visendum eam festinans, communia simul comploraturus infortunia, jacentem reperit solam in prato, dormientemque curarum oppressam pondere, et albas colore rosas provocantem, subridentique similem auditis lepidarum mellitis hirundinum pipillationibus. O quanta fuit admiratio, quantusque Chariclis tremor, ut dormientem in hortulo amicam vidit, —

» πρὸς τὴν τεκοῦσαν· Μῆτερ, οἴχομαι, λέγων·
» ὄφις με τύπτει μικρὸς ἐπτερωμένος,
» μέλιτταν ἣν λέγουσιν ἄνδρες γηπόνοι.
» Ἀλλ' ἡ καλὴ Κύθειρα τῷ πεπληγμένῳ,
» ἀςεῖον ἐγγελῶσα·, λοιπὸν ἀντέφη·
» Εἰ τῆς μελίττης συνθλίβει τὸ κεντρίον,
» πόσον, δοκεῖς; πονοῦσιν οἱ βεβλημένοι
» ἐκ σῶν, Ἔρως παῖ, δυςυχῶν τοξευμάτων! »
Εἴρηκε ταῦτα Χαρικλῆς τῷ Κλεινίᾳ,
καὶ, τὸν Δροσίλλης ἐγγυώμενος γάμον,
μικρὸν διέςη πρὸς διάσκεψιν τάχα,
οὐχ ὡς συνάψαι τὴν Δροσίλλαν Κλεινιᾳ
κακὴν δὲ βουλὴν ἐκφυγεῖν μᾶλλον θέλων·
ἣν καὶ κατιδεῖν εὐχερῶς ἠπειγμένος
ὡς συναποκλαύσαιτο τὴν δυςυχίαν,
λειμῶνος ἐντὸς εὗρε κειμένην μόνην,
κοιμωμένην μὲν ἐκ μεριμνῶν βαρέως,
ἄνθει δὲ λευκῶν ἀντερίζουσαν ῥόδων,
καὶ μειδιᾷν δοκοῦσαν ἀκροωμένην
φθογγῆς μελιχρᾶς τῶν καλῶν χελιδόνων.
Ω θάμβος οἷον, ἀλλὰ καὶ φρίκη πόση
ἐκεῖ Χαρικλῆν συγκατέσχεν ἀθρόον,
ὡς εἶδεν ὑπνώττουσαν ἐν τῷ κηπίῳ

ταύτην, ἀπαστράπτουσαν ἡλίου δίκην
ἐαρινην λάμποντος ἀνθρώποις φλόγα!
Ὃς καὶ Δροσίλλης ἐγκαθεσθεὶς πλησίον
(φειδὼ γὰρ εἶχε τήνδε μη διϋπνίσαι),
ἔφασκε, ταύτην ἀτενέστερον βλέπων·
« Ἐνταῦθα καὶ Χάριτες, ὦ ποθουμένη,
» κοιμωμένῃ σοι συμπάρεισιν ἠρέμα,
» ἐπαγρυπνοῦσαι μή τι φαῦλον ἐμπέσῃ
» σύγκυρμα πάντως ἐξ ἀποφράδος τύχης.
» Ὦ ποῖον αὐτὴ λεπτὸν ἀσθμαίνεις, κόρη!
» Ὦ ποῖον ἡδὺ μειδιᾷν δοκεῖς τάχα!
» ἧς ἐξεπορφύρωσεν ἡ φύσις πάλαι
» χείλη, παρειάς, ὡς δοκεῖν φλόγα τρέφειν,
» καὶ βοστρύχους ἔτεινε μέχρις ὀσφύος,
» οἷς οὐδὲ χρυσὸς ἀντερίζειν ἰσχύει.
» Σιγῶσι πάντα σοῦ σιγώσης, Παρθένε·
» οὐ στρουθὸς ᾄδων, οὐχ ὁδοιπόρος τρέχων,
» οὐδεὶς ὁμιλῶν· οὐ παρερπύζων ὄφις·
» ἔπαυσεν, οἶμαι, καὶ πνοὴ τῶν ἀνέμων
» τὸ κάλλος αἰδεσθεῖσα τῆς κοιμωμένης.
» Ὦ πῶς σιγᾷ νῦν πᾶν μελῳδὸν στρουθίον!
» Πηγαὶ μόναι νάουσιν, ὦ ποθουμένη,
» ὡς μᾶλλον ἡδὺν ὕπνον ἐμβάλωσί σοι·

refulgentemque solis instar, cum vernis homines ignibus collustrat! Atque haud procul adsidens (expergefacere quippe noluit), sic fatur, defixo in eam obtutu : « Hic Gra-
» tiæ, o dulcis mea cura, dormienti tibi ad-
» sunt vigilantes, ne quid tristius ex inimica
» Fortuna accidat : O puella, quam tenuis
» est halitus oris tui! quam suave ridere vi-
» deris ! Minio pinxit olim Natura labia
» genasque, ut fere incendi videantur ; et
» ad lumbos usque demisit cincinnos, qui-
» buscum nec possit aurum ipsum contendere.
» Te silente, Virgo, cuncta silentio constite-
» runt. Non cantat passerculus ; viator non
» currit ; loquitur, arbitror, nemo ; non perre-
» pit anguis ; ceciderunt, puto, et ipsæ ven-
» tosi murmuris auræ, pulchritudinem ve-
» ritæ dormientis. Oh! ut nunc silent passer-
» culi omnes tam loquaces! Rivi soli manant,
» amica, dulciores tibi facturi somnos,

» cursuque vocali dicunt : O quæ tota for-
» mosa es, taces : tacet tibi aura frigidula :
» Dormis : dormit et ventorum genus omne.
» Rivi nunc soli tibi admurmurant. Et tacet
» musicus avium chorus, cum non jam illis
» respondere possis. Attamen somnum ne
» nimis ames obliviosum ; lusciniolas enim,
» ni fallor, contristas, quibuscum certat
» os tuum suavissimum : etenim, mellita
» sunt, puella, verba oris tui. At vos, Gra-
» tiæ bonæ, quæ mihi amice favetis adspira-
» tisque, divæ pulcherrimæ, custodite et
» observate et defendite pectus dorsumque
» dormientis, procul abigentes avidum mus-
» carum genus. Nullum aliud præsens Amo-
» ris remedium, nisi cantus et musa, quibus
» mala leniuntur. Ipse enim Polyphemus
» olim Amoris jaculo pectus transadactus,
» magnumque alens venis Nereïdis philtrum,
» nullam reperit aliam medicinam morbi,
» quam cantus, et calamos, et dulcia car-
» mina,

» καὶ φθογγὸς αὐτῶν ἡ ῥοὴ λέγουσά σοι·
» Ὦ καλλονὴν ἅπασαν ἠμφιεσμένη,
» σιγᾷς· σιγᾷ σοι καὶ τὸ τῆς αὔρας ψύχον·
» ὑπνοῖς· ἐφυπνοῖ καὶ τὸ τῆς αὔρας γένος·
» πηγαὶ μόναι νῦν ἐγκελαρύζουσί σοι·
» ἐντεῦθεν ἀντᾴδουσαν οὐκ ἔχοντά σε
» σιγῶσι φιλόμουσα τῶν πτηνῶν γένη.
» Πλὴν ἀλλὰ μή μοι ϛέργε τὸν λήθης ὕπνον·
» λυπεῖς γάρ, ὡς ἔοικε, τὰς ἀηδόνας,
» αἷς ἀντερίζει σὸν γλυκύτατον ϛόμα·
» μελιϛαγὲς γὰρ προσλαλεῖς, ἡ παρθένος.
» Ἀλλ' ὦ συνεργοὶ καὶ συνέμπνοοι φίλαι,
» Χάριτες ἐσθλαί, μαργαρόϛερνοι κόραι,
» φρουρεῖτε καὶ τηρεῖτε πρὸς σωτηρίαν
» τὰ ϛέρνα καὶ τὰ νῶτα τῆς κοιμωμένης,
» μακρὰν τιθεῖσαι λιχνὰ τῶν μυιῶν γένη.
» Ἔρωτος οὐδὲν ἄλλο φάρμακον ξένον·
» ᾠδὴ δέ τις καὶ μοῦσα παῦλα τῶν πόνων.
» Βεβλημένος γὰρ καὶ Πολύφημος πάλαι
» τὸ ϛέρνον ἐξ Ἔρωτος ἀνδροτοξότου,
» πλατὺ τρέφων τὸ φίλτρον ὡς Νηρηΐδα,
» ἐφεῦρεν οὐδὲν ἄλλο φάρμακον νόσου,
» ᾠδὴν δὲ καὶ σύριγγα καὶ θέλγον μέλος,

» καὶ πέτραν ἕδραν, τῇ θαλάττῃ προσβλέπων.
» Πρῶτον γὰρ οἶμαι, καὶ καλῶς οὕτως ἄρα,
» πτηνοδρομῆσαι τοὺς λίθους εἰς αἰθέρα,
» καὶ λίθον ἀδάμαντα τμηθῆναι ξίφει,
» ἢ τοξικῆς Ἔρωτα παυθῆναι κάτω,
» κάλλους παρόντος καὶ βλεπόντων ὀμμάτων.
» Λήγει μὲν οὖν καὶ πόντος ὀψὲ τῆς ζάλης,
» λήγουσιν ἄρτι καὶ πνοαὶ τῶν ἀνέμων,
» καὶ πῦρ ἀναφθὲν συγκατεσβέσθη πάλιν·
» ζάλη δὲ καὶ πῦρ λῆξιν ἔσχεν οὐδ᾽ ὅλως
» τοῖς στερνοπλήκτοις ἐξ Ἔρωτος τοξότου·
» τήκειν γὰρ οἶδεν, ὡς τὸ πῦρ τὸ κηρίον,
» οὓς ἐνδὸν αὐτοῦ τῆς καμίνου συλλάβῃ.
» Ἀνιαρόν τι χρῆμα τοξότης Ἔρως·
» ἐμφὺς γὰρ, ὥσπερ βδέλλα λιμνῆτις, πίνει
» τὸν αἵματος ῥοῦν πάντα. Τῆς ἄκρας νόσου!
» Ὡς ἐξαπίνης οὓς λάβῃς, Ἔρως, Ἔρως,
» καίεις, φλογίζεις, πυρπολεῖς, καταφλέγεις!
» Ὡς ἐξ ἐκείνων τῶν προηνθρακωμένων
» καὶ λύχνον ἀδρὸν ἐξανάψει τις θέλων!
» Ποιεῖς δοκεῖν γὰρ ὑποκόλπιον φέρειν
» ἐρωμένην ἐρῶντα πολλὰ πολλάκις.
» Οὕτως ἐρῶν πᾶς (Ὡς ἄφυκτόν τι πόθος!)

» et in rupe sedem unde pontum aspectabat. » Prius enim credo, nec falsus sum, alatos » per æthera volaturos esse lapides, et ense » secatum iri adamantem, quam cesset Amor » has in terras mittere tela, donec erunt pul» chræ facies et cernent oculi. Quiescit tan» dem sæva maris hyems; quiescunt et ven» torum flatus, et ignis incendium restin» guitur : sed in eorum præcordiis, quos » vulneravit deus sagittifer, non hyems » quiescit nec incendium. Quos enim in for» nace conjecerit, macerat, ut ceram ignis. » Triste sagittifer Amor : adhærens enim, » hirudo veluti paludosa, omnem ebibit san» guinem. O morbum dirum! Amor, Amor, » quam confestim quos rapueris, uris, cre» mas, incendis, comburis! En ex illorum » favillis possit qui velit vel magnam accen» dere facem! Nam sæpissime facis ut amans » amicam in sinu sibi ferre videatur : adeo » omnis amans (O malum desiderii inevita-

» bile!) Amoris retibus implicatur, veluti
» mus in liquidam qui decidit picem. Credo,
» si quis effugerit unquam Amoris tyranni-
» dem et alas, posse vel sublimes enumera-
» re stellas. »

» ἁλίσκεται γὰρ τοῖς Ἔρωτος δικτύοις,
» ὡς μῦς πρὸς ὑγρᾶς ἐμπεσὼν πίσσης χύτραν.
» Δοκεῖ δέ μοί τις, ἂν παρέλθῃ καὶ φύγῃ
» Ἔρωτα τὸν τύραννον ἐπτερωμένον,
» καὶ τοὺς ἐφ' ὕψους ἐκμετρήσειν ἀστέρας.

ΤΩΝ

ΚΑΤΑ ΔΡΟΣΙΛΛΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

Τοιαῦτα πολλὰ καὶ τοσαῦτα καὶ τόσα
ὑπετραγῴδει καθ' ἑαυτὸν ἠρέμα·
πλὴν ἐξανέστη καὶ Δροσίλλα τῷ τότε.
Ἔμεινε δ' οὖν ἄφθογγος εἰς πολὺν χρόνον,
ὡς εἶδε συμπαρόντα τὸν Χαρικλέα,
ψυχὴ φιλοῦσα καρδίαν ποθουμένην.
Καὶ τὸν καταῤῥέοντα μαργάρων δίκην
ἱδρῶτα λεπτὸν ἀπεμόργνυ δακτύλοις.
Ἣν εἴ τις εἶδεν ὕπνον ἀφεῖσαν τότε
εἴρηκεν ἄν· » Ζεῦ, τῶν Ὀλυμπίων πάτερ',
» πρέπειν μὲν οἶδε πάντα τερπνὰ τοῦ βίου,
» ᾠδαί, τρυφαί, τράπεζα λαμπρὰ καὶ πόσις,
» μέγιστος οἶκος, χρυσος, ἄργυρος, λίθος,
» καὶ πλοῦτος ἄλλος χρημάτων καὶ κτημάτων,
» ἀλλ' οὐ τοσοῦτον ὡς ἐρυθρόχρους κόρη,

DROSILLÆ ET CHARICLIS

RERUM

LIBER QUINTUS.

Tot ac tantas talesque submissa voce fundebat querelas, cum surrexit Drosilla; quæ quidem obmutuit diu, adsidentem sibi cernens Chariclem, amans amatum. Protinusque labentes unionibusque similes sudoris guttulas digitis abstersit. Quam si quis vidisset tunc somno solutam, dixisset: « Jupiter, Olympiorum pater, placet quidem » quidquid est in vita jucundum, cantus, » voluptates, mensa splendida potatioque, » magna domus, aurum, argentum, lapides » pretiosi, et varia divitiarum rerumque » copia; sed non tantum rosea quantum » puella,

» cum sub meridiem expergefacta guttis » sudoris undique manantibus madet, tem-» pore ceu verno agrostis rore matutino. » Cujus qui poterit genas tenuem stillantes » imbrem osculari, is ignem irrorat, minuit-» que flammam, qua intus cor aduritur mi-» serum, concrematumque, et quod to-» tum amor in carbones vertit. » Vix tandem Charicli Drosilla « Videris, Charicles, » inquit « adesse mihi. Ipsene Drosillæ nunc » propior adsides? an me vanæ ludunt ima-» gines? Labiis insere labia; extende digitos; » cervicem tange meam genasque. Sinas me, » Charicles, amantem te redamare. Ex imo » si me non amare velis animo, jam perierit » mihi vitæ dimidium meæ. Qui fasve bo-» numve putas amicæ inferre dolorem? Ni-» dum facito in ramo, quo non facile acce-» dere possit vel avis alata, vel adrepens an-» guis. Non audias sine pudore eam quæ te » amavit prior;

» ὅταν διϋπνισθεῖσα πρὸς μεσημβρίαν,
» θρόμβους περιῤῥέοντας ἱδρώτων φέρῃ,
» ὡς εἰς ἔαρ ἄγρωστις ὀρθρίαν δρόσον·
» ἧς εἰ φιλεῖν σχοίη τις αὐτὴν τὴν γνάθον
» λεπτὴν ἀποστάζουσαν ἱδρώτων δρόσον,
» τὸ πῦρ δροσίζει, καὶ μαραίνει τὴν φλόγα
» καίουσαν αὐτὴν ἔνδοθεν τὴν καρδίαν
» τὴν δυσφοροῦσαν, τὴν πεπυρπολημένην,
» ὡς δῆθεν ἐξ ἔρωτος ἠνθρακωμένην. »
Μόλις προσεῖπε πρὸς Χαρικλῆν τοιάδε·
« Σύ μοι, Χαρίκλεις, σὺ δοκεῖς παρεστάναι.
» Αὐτὸς πάρει νῦν τῆς Δροσίλλης ἐγγύθεν,
» ἢ φασμάτων ἔμφασις ἐμπαίζειν θέλει;
» Ἔμβαπτε χείλει χεῖλος· ἁπλοῦ δακτύλους·
» ἐμῶν ἐφάπτου καὶ τραχήλου καὶ γνάθου.
» Δὸς ἀντιφιλεῖν, Χαρίκλεις, φιλοῦντά με·
» σοῦ μὴ φιλεῖν θέλοντος ἐκ ψυχῆς μέσης,
» δοκῶ ποθεινῆς ἥμισυ ζωῆς ἔχειν.
» Πῶς τοῦτο χρηστὸν, τὴν φιλοῦσαν ἀλγύνειν;
» Μίαν καλιὰν πῆξον εἰς ἕνα κλάδον,
» οὗ μὴ προβαίνειν εὐχερῶς ἂν ἰσχύοι
» ἢ πτηνὸς ὄρνις ἢ προσερπύζων ὄφις.
» Πρώτην δέ σε στέρξασαν αἰσχύνου κλύων·

» ἐν δευτέρῳ με τῆς Χρυσίλλης μὴ τίθης·
» μὴ τῆς κόρης πρόκρινε τὴν γηραλέαν.
» Ερως ὁ πλήττων ὡς ὑπόπτερος μάθε.
» Γυνὴ παρηκμακυῖα πῶς ἂν ἰσχύσοι
» πτηνοδρομοῦντα συλλαβέσθαι τοξάτην; »
Ἔφη Χαρικλῆς ἀντιπαίζων μετρίως,
καὶ μὴ τὸ μέλλον προσκοπῶν καὶ προβλέπων·
τὸν γὰρ πρὸς αὐτὸν, ὃν Δροσίλλα μηνύει,
ἔρωτα δεινὸν τῆς Χρυσίλλης ἠγνόει·
« Τοιαῦτα μὲν σὺ κερτομήματα πλέκεις·
» οὐκ ἀγνοῶ δὲ, δεινὸς ὢν πρὸς τὸν πόθον,
» ὡς ζηλότυπον χρῆμα θηλειῶν ἔφυ·
» γεννᾷν γὰρ οἶδε ψευδεπιπλάστους λόγους,
» τὰς ἐν προλήψει τῶν φρενῶν ἀναπλάσεις
» ἀεὶ νομίζον ὡς ἐφεστώσας βλέπειν·
» δοκεῖ γὰρ αὐτὰς οὐσιῶν ὑποστάσεις.
» Πλὴν καὶ φορητὰ κερτομούμενος φέρω·
» περιφρονῶν δὲ τὰς προλοίπους ἐμφρόνως,
» μόνην ποθῶ· κέκτησο τὴν ζωὴν ὅλην. »
Ἀλλ' ἡ Δροσίλλα « Ναὶ, Χαρίκλεις, » ἀντέφη
« εἶχον προφανῶς συντίθεσθαι σοῖς λόγοις,
» εἰ μὴ Χρυσίλλα τὸν σύνευνον Κρατύλον
» ἐκ φαρμάκων ἔσπευδεν ἀνῃρηκέναι

» ne me Chrysillæ postponas; ne vetulam » præferas puellæ. Amori quo ferimur alas » esse memento. Mulier efflorida poteritne » volantem comprehendere arcitenentem? » Cui contra Charicles ludens suaviter, nec quid esset futurum prævidens: ignorabat enim dirum hunc Chrysillæ amorem, quem significabat Drosilla: « Talia non mea sine irrisione » commentiris. Equidem, in amando non » rudis, novi quam sit invidum fœminarum » genus. Fictis solet abuti sermonibus, et » quæ sibi præjudicata opinione somnia finxit, » usque putat sibi versari ob oculos, illaque » pro rebus ipsis habet. Sed ego ferendas » fero cavillationes. Cæteras despiciens caste » puellas, te solam cupio: meam tibi vitam » habeto totam.» Drosilla rursus: « Ne, Cha» ricles, tuis statim adsentirer dictis, ni » Chrysilla, quæ heu! formosum ardet Cha» riclem, Cratylo conjugi mortem ex veneno

» pararet. » — « Hei mihi ! » exclamat statim ille media intercipiens verba : « Drosilla, » quid ais ? Rem narras lætitiæ plenam et » doloris. Nam tyranni mors Cratyli nobis » quidem miserabilem servitutem servienti- » bus optanda est. Solvemus duro forsitan » colla jugo : Cliniam enim non nimiopere » curamus. At rugosam Chrysillam acri nunc » Chariclem amore persequi ! Quid detes- » tandum magis ? Non ! per Themidem juro » Amorisque flammas; non, non mihi jungetur » unquam anus misella, mare acerrimum, » amarum, lutosum, sævumque. Osculum » oris tui, mulier, supplicium est. Labia » sunt dura, os siccum; annique flore tuas » spoliavere genas. Jam lippiunt oculi multa » licet illiti cochlea; palles quamvis spisso » tincta fuco. Et, ut turpis Chrysilla jam fiat » Diana pulchrior ipsa, qui Barbaræ sponsus » fœminæ Charicles datam Drosillæ juratam- » que præstabit fidem?

» ἐρῶσα φευ! φευ! τοῦ καλοῦ Χαρικλέος. »
» Ὤμοι! » Χαρικλῆς, τὸν λόγον προαρπάσας,
» Δροσίλλα, τί φὴς; » ἀντέφησεν εὐθέως.
» Λέγεις τι μεςὸν χαρμονῆς καὶ δακρύων.
» τὸ γὰρ θανεῖν μὲν τὸν τύραννον Κρατύλον
» εὐκταῖον ἡμῖν δυςυχῶς δουλουμένοις·
» ἴσως λυθῶμεν τοῦ ζυγοῦ τοὺς αὐχένας,
» φροντίδα μικρὰν Κλεινίου τεθεικότες·
» τὸ δὲ Χρυσίλλαν τὴν ἐῤῥυτιδωμένην
» ἔρωτα πικρὸν νῦν ἐρᾷν Χαρικλέος,
» ἀπευκτὸν οὐκ ἔοικεν; οὔ, μὰ τὴν Θέμιν,
» οὔ, οὔ, μὰ τὴν Ἔρωτος ἀνθρακουργίαν;
» οὐ προσπλακῇ μοι γραῦς τάλαινα καρδίᾳ,
» θάλασσα πικρὰ, τελματώδης, ἀγρία.
» Ποινὴ τὸ σὸν φίλημα πάντως, ὦ γύναι·
» σκληρὸν τὸ χεῖλος, ξηρὸν αὐτὸ τὸ ςόμα·
» χρόνος δὲ τὰς σὰς ἐξεμύρσωσε γνάθους·
» λημᾷς γὰρ ἤδη, κἂν ὁ κόχλος εἰς βάθος·
» κατωχριᾷς γὰρ, κἂν τὸ φῦκος εἰς πάχος.
» Καὶ, κἂν ἐκείνης Ἀρτέμιδος καλλίων
» Χρυσίλλα, λυπρὰ νῦν, γεγένησαι πάλιν,
» ποῦ ποῦ Δροσίλλης τοὺς ἐνωμότους λόγους
» θήσει Χαρικλῆς συζυγεὶς τῇ Βαρβάρῳ;

» Φθείρου, τυραννίς· ἔῤῥε, σατραπαρχία.
» Ὁ πλοῦτος ἐκρατήθη τοῦ Χαρικλέος.
» Οὐ μὴ προθῶμαι σωφροσύνης τὸ κλέος.
» Συνουσιώθην τῆς Δροσίλλης τῷ πόθῳ·
» ἀποϛερηθείην δὲ μὴ σοῦ, Παρθένε.
» Ὁρᾷς ὁ καλλίμορφος ἐκ Διὸς γόνος;
» σύ μοι Δροσίλλης ἠγγυήσω τὸν γάμον·
» καὶ νῦν γυνὴ γραῦς βαρβαρόφρων, ὠμόνους,
» ζητεῖ διασπᾷν τῆσδε τὸν Χαρικλέα.
» Βλέπεις ἀνάγκην ἣν φέρει, βλέπεις νόσον.
» Τὸν Κρατύλον φόνευε καὶ τὸν Κλεινίαν·
» ναὶ καὶ σὺ σαυτὴν, ὦ Χρυσίλλα κυρία·
» οὕτω Χαρικλῆν ἠδυνεῖς σὸν οἰκέτην,
» οὕτω Δροσίλλαν εὐφρανεῖς σὴν οἰκέτιν.
» Ταῦτ' οὖν μελήσει τοῖς θεοῖς, ὦ Παρθένε·
» τὸν δ' οὖν ἔρωτα Κλεινίου τοῦ δεσπότου
» ποῦ τῆς καθ' ἡμᾶς θήσομεν δεινῆς τύχης;
» Λέγοις τι μικρόν· ὡς ἀπέϛαλμαι μόνος
» ὑμᾶς συνάψων καὶ τὸ πᾶν καταρτίσων. »
Πρὸς ταῦτα δακρύσασα μικρὸν ἡ κόρη,
« Ὀλύμπιε Ζεῦ, » φησὶν « οὐρανοκράτωρ,
» τί ζῆν με κακότητι συγχωρεῖς ἔτι,
» τὴν λειπόπατριν, τὴν ἄποικον, τὴν ξένην;

» Vale, regnum; satrapici honores, valete.
» Vicit Charicles divitiarum illecebras. Non
» anteponam virtuti honores. Me Drosillæ
» junxit Amor: utinam te nunquam, o Virgo,
» priver! Viden', formose Jovis nate? Tu
» mihi Drosillæ nuptias despondisti, et ecce
» anus barbara mente et nimis fero corde
» avellere vult a Drosilla Chariclem! Cernis
» qua nos premat necessitatem; cernis non
» sani pectoris morbum. Cratylum interime
» et Cliniam; ne, te ipsam una, hera Chry-
» silla: rem facies servo tuo gratam Chari-
» cli, servæ tuæ gratam Drosillæ. Hæc autem,
» Virgo, erunt, curæ cœlitibus. Ast heri
» Cliniæ amor, in qua ponendus infortunio-
» rum parte? Significa mihi quiddam: nam
» unus ego ad te missus fui, qui concilia-
» rem alterum alteri, rem omnem compositu-
» rus. » Ad hæc aliquantulum lacrymans
puella: « Jupiter Olympice, » dixit, « cœli
» moderator, quid me sinis inter tanta mala
» vivere, exulem a patria, sine laribus et
» extorrem?

» Cur me non voravit os abyssi? Cur me non » peremit barbarus ensis? Cur non fui versa » in lapidem? Cur me saltem pennis non » instruxisti, ut olim filias Pandionis Attici? » Cur non e saltibus prosiliens me leo robus- » tus ferusque ocyus laniavit, cum per ne- » mora et prærupta locorum piraticam fuge- » rem immanitatem? Ah! melius fuerat, o » Dii, me tunc mori finemque invenisse » malorum, quam perpetuis in lacrymis » inter Barbaros vivere, servam, humilem, » captivamque miseramque! At, o dulcis ami- » ce suavisque, hæc omnia mihi sunt grata. » Desine lacrymarum. » Non ignarus enim tanta propter se perpessam fuisse mala, Charicles præ pudore lacrymulis ora rigabat, atque nidos hirundinum spectans, vicissim talia fatur: « Tu quidem, hirundo pulchra, » verno adveniens tempore, volubilibus » cum garritibus, binis unum lutas nidum » parvulis; bruma sed redeunte fugis:

» Τί μὴ θαλάσσης ὑπεδέξατο ϛόμα;
» Τί βάρβαρόν με μὴ κατέκτεινε ξίφος;
» Τί πρὸς λιθώδη μὴ μετετράπην φύσιν;
» Τί μὴ πτέρυξιν ἀνταμείβεις καὶ μόναις,
» ὡς Πανδίονος Ἀττικοῦ τὰς ἐκγόνους;
» Τί μὴ βριαρὸς καὶ θρασύσπλαγχνος λέων
» λοχμῆς προκύψας θᾶττον ἐσπάραξέ με,
» ἅτε πρὸς ἄλση καὶ φαραγγώδεις τόπους
» τὴν ληϛρικὴν ἔφευγον ἀγερωχίαν;
» Ὡς κρεῖττον ἦν θανοῦσαν, ὦ θεοί, τότε,
» ἀπαλλαγήν με τῶν κακῶν εὑρηκέναι,
» ἢ ζῆν ἀειϛένακτον ἐν γῇ Βαρβάρων
» δούλην, ταπεινὴν, αἰχμάλωτον, ἀθλίαν!
» Ἀλλ', ὦ ποθεινὸν ὄμμα καὶ φίλη θέα,
» ἥδιϛα ταῦτα πάντα· μὴ δάκρυέ μοι »
(γνοὺς γὰρ δι' αὐτὸν ταῦτα συμπεπονθέναι,
αἰδούμενος δάκρυον ἐϛάλαζέ τι·)
ἔφη Δροσίλλα· καὶ Χαρικλῆς ἀντέφη,
ἰδὼν πρὸς αὐτοὺς τοὺς φωλεοὺς χελιδόνων·
« Σὺ μὲν μολοῦσα ταῖς ἔαρος ἡμέραις,
» καλὴ χελιδὼν, εἰς ἐπίτροχον μέλος
» διττοῖς νεοσσοῖς συντιθεῖς χεῖαν μίαν·
» ὅταν δὲ χειμὼν ἀντεπέλθῃ, φυγγάνεις·

» ἀλλ' ὁ πτερωτὸς, ἀλλ' ὁ τοξότης Ἔρως
» ἀεὶ καλιὰν εἰς ἐμὴν ψυχὴν πλέκει.
» Πόθος δ' ὁ μὲν πτέρωσιν ἁδρὰν ἐκφύει,
» ἄλλος δὲ τὴν κύησιν ἡμῖν μηνύει,
» ὠοῦ δέ τις ἔξωθεν ἄλλος ἐκτρέχει·
» ἀεὶ δὲ τὴν τάλαιναν ἐκτὸς καρδίαν
» βοὴ νεοττῶν ἐκθροεῖ κεχηνότων·
» τῶν γὰρ τραφέντων ἐκτοκεύονται νέοι
» τῇ καρδίᾳ. Τίς μηχανὴ γένοιτό μοι;
» Ἐρωτιδεῖς γὰρ οὐ τοσούτους ἰσχύει
» ἀεὶ τοκεύειν, ζωπυρεῖν, φέρειν, τρέφειν.
» Δεινὸν φιλῆσαι, μὴ φιλῆσαι δὲ πλέον·
» δεινῶν δὲ πάντων χαλεπώτερον κρίνω
» τὸ τοὺς φιλοῦντας εὐκόλως μὴ τυγχάνειν.
» Κέρας μὲν αὖ δέδωκε ταύροις ἡ Φύσις,
» ἵπποις ὁπλὰς δὲ, τὴν ποδώκειαν πάλιν
» δειλοῖς λαγωοῖς, τῇ λεόντων ἀγέλῃ
» τὸ τῶν ὀνύχων ὀξυκέντητον σθένος,
» τὸ νηκτὸν ἔθνει τῶν ἀφώνων ἰχθύων,
» τοῖς ὀρνέοις τὴν πτῆσιν, ἀνδράσι φρένας·
» πρὸς γοῦν Δροσίλλαν, ἄλλο μὴ κεκτημένη,
» δίδωσι κάλλος, ἀντὶ πάσης ἀσπίδος,
» ἀντὶ βελέμνων, ἀντὶ πολλῶν ἐγχέων·

» At vero alatus Amor, Amor arcitenens,
» usque meo in corde nidulatur. Amorulus
» hic densis vestitur pennis ; ille se sub ovo
» conditum indicat; alius ex ovo prosilit;
» semperque medio miseri cordis pipitus
» hiantium pullorum resonat. Nam qui
» sunt educati gignunt ipsi in corde novos.
» Ecquod erit mihi remedium? Tot enim
» Amorulos nequaquam parturire semper,
» fovere, ferre, nutrire valet. Amare grave
» est et non amare gravius; at rem omnium
» esse durissimam puto, amantes non facile
» potiri. Tauris Natura cornu dedit, equis
» ungulas, velocitatem pedum timidis lepo-
» ribus, leonibus unguium acutissimorum
» robur, mutorum generi piscium natandi
» solertiam, avibus volatum, viris sapien-
» tiam : Drosillæ, aliud nil habens, pulchri-
» tudinem pro clypeis cunctis dedit, telis-
» que cunctis, multisque jaculis :

» edacem flammarum torrentium vim aciem-
» que ferri vincit. Equidem hero, Drosilla,
» Cliniæ felices sum tuas pollicitus nuptias;
» non ita sentiens (quod abominor), sed
» ut temporis aliquantulum lucrarer, quo
» barbara mens nimium ardens considere
» possit, possimusque quid nobis sit agen-
» dum prospicere. Jam vero tempus instat,
» consultandumque quo nunc Chrysillæ filii-
» que ejus Cliniæ amorem extinguere modo
» valeamus. » Talibus igitur erant intenti (nam usque dum castus fuit et pudicus amor utriusque) Charicles virgoque Drosilla : ecce subitus spargitur rumor, Cratylum periisse repentino oppressum morbo. Confestim dulce rumpentes conloquium, heris se suis lugubri indutos veste sistunt, rei discendæ causa. Et adcurrente statim subditorum turba virorum, mulierum, satraparum, et barbarorum, ipsa coetu in medio Chrysilla,

» καὶ πάμφαγον πῦρ δραστικῶς ἀνημμένον,
» νικᾷ δὲ καὶ σίδηρον εὖ τεθηγμένον.
» Ἐγὼ, Δροσίλλα, Κλεινίᾳ τῷ δεσπότῃ
» τὸν ὄλβιον σὸν ἠγγυησάμην γάμον,
» οὐχ ὡς φρονῶν τοιαῦτα (μὴ γένοιτό μοι!),
» πλὴν βαρβάρῳ μὲν καρδίᾳ θυμουμένῃ
» ὥραν παρασχὼν ἠρεμῆσαι μετρίαν,
» ἡμῖν δὲ πάντως τί σκοπῆσαι συμφέρον.
» Ἤδη δὲ καιρὸς, καὶ σκοπεῖν ἀπαρκτέον
» πῶς τὸν Χρυσίλλης καὶ τὸν ὑιοῦ Κλεινίου
» ἔρωτα νῦν σχοίημεν ἐγκατασβέσαι. »
Τοιοῖσδε λοιπὸν ἦσαν ἠσχολημένοι
(ἔρως ὁ σώφρων ἡ φιλλάληλος σχέσις)
αὐτὸς Χαρικλῆς καὶ Δροσίλλα παρθένος·
καί τις παρεισέπνευσεν ἀρτίθρους λόγος,
ὡς Κρατύλος τέθνηκεν ἀθρόᾳ νόσῳ·
οἳ καὶ διασπασθέντες ἀλλήλων τότε,
ἀντιπροσῆλθον τοῖς ἑαυτῶν δεσπόταις
μαθεῖν τὸ πραχθὲν, πενθικῶς ἐσταλμένοι·
καὶ συῤῥεόντων τῶν ὑπ' αὐτοὺς αὐτίκα
ἀνδρῶν, γυναικῶν, σατραπῶν καὶ βαρβάρων,
ὁμοῦ κατ' αὐτὸ, Κρατύλου προκειμένου,
ᾤμωξεν ἡ Χρυσίλλα πάντων ἐν μέσῳ,

πρὸς μὲν τὸν ἄνδρα δῆθεν ἠσχολημένη,
τὸ δ᾽ οὖν ἀληθὲς, πρὸς Χαρικλέος θέαν·
« Σὺ μὲν προόιχῃ καὶ γυναικὸς καὶ τέκνου,
» ἄνερ Κρατύλε, δυςυχῶς λελειμμένων,
» ὃν οὔτε χεὶρ ἔκτεινεν ἀρχισατράπου
» τείνουσα τὴν μάχαιραν ἐν καιρῷ μάχης,
» ἀλλ᾽ ἡ θεῶν πρόνοια τῶν Ὀλυμπίων
» εἰς κρυεροὺς ἔπεμψε Πλούτωνος δόμους!
» Ποῖος δὲ τὴν σὴν δέξεται τυραννίδα;
» Τίς τῆς Χρυσίλλης κυριαρχήσειέ μου;
» Τίς τὴν πατρικὴν δείξει φιλοςοργίαν,
» τοῖς ἀμφὶ τὴν σὴν καὶ τῷ ἐκ σοῦ Κλεινίᾳ; »
Τοιαῦτα ῥαψῳδοῦσα, πρὸς Χαρικλέα
μήνυμα μεςὸν ἀντιπέμπει πικρίας
αὐτῷ Χαρικλεῖ καὶ Δροσίλλῃ τοῖς νέοις·
« Κινεῖς μὲν, οἶδα (τὴν ἀλήθειαν λέγω),
» καὶ χαλκοτύπους ἀνδριάντας, Χαρίκλεις·
» ἀλλ᾽ οἱ θανόντες ὡς ανέλπιςοι σκόπει·
» ἐν ζῶσιν ἐλπὶς, ἐν θανοῦσιν οὐκ ἔτι.
» Σειρὴν μελιχρὰ, θέλγε τὴν ὁδοιπόρον·
» βροτοὺς λιθοῦσα καὶ βροτοῦσα τοὺς λίθους,
» ᾄδουσιν ἤχῳ τῶν ποδῶν σου καὶ λίθοι.
» Ὦ λαμπρὸν ἄςρον, φέγγε κἀμοὶ τῇ ξένῃ.

expositum coram Cratyli corpus intuens, ingemuit, conjugem videlicet lugens, at revera in Charicle tota : « Abiisti, Cratyle » sponse, sponsam ante natumque quos » miserabiliter deseruisti; nec te peremit » Archisatrapæ manus gladio inter pugnan» dum intentato, sed Deorum numen Olym» picorum te in frigidam demisit domum » Plutoniam ! Quis tuo succedet regno ? Quis » erit Chrysillæ dominus ? Quis paternam » ostendet caritatem sponsæ mihi tuæ, Cli» niæque tuo. » Has post ampullas verborumque nugas, Charicli mittit epistolam, magnum Charicli Drosillæque, amabili juvenum pari, illaturam dolorem : « Potis es, » sat scio, Charicles, nec vana loquor, » vel æneas movere statuas : sed de mortuis » cerne quantum sit desperandum. In vivis » spes est aliqua, in mortuis nulla. Mellita » siren, viatricem demulce : tu qui homines » in saxa vertis, saxaque vicissim in homi» nes, ipsa saxa pedum sono tuorum acci» nunt. Splendidum astrum, et me hospi» tam lumine collustra.

» Hirundo, cane; illicem cantilenam cita.
» Musæ enim ipsæ nectar infundunt tibi,
» mellitumque os tuum condiunt dulcedine.
» Sed cur hæc ego tibi? Quid velim disce.
» Triste siccitas fluvio, arboribus nives, retia
» passeribus, morbus corpusculo, juvenibus-
» que viris fœminarum amor. Quid me af-
» fectu sincero lætisque te intuenti oculis,
» oculis contra severis intueris et fronte
» caperata? Cicada cicadæ amica est, pastor
» pastoribus, formica formicis; mihi Chari-
» cles, unus Charicles. At cœcus est amor,
» non Plutus tantum. Agnum sequitur lupus,
» herbam capella viridem, leporem canis,
» ursa crudelis agnam, curvis accipiter un-
» guibus passerum pullos: ego te unum ar-
» deo. At tu lentus semper olimque fuisti.
» Neutiquam enim vinci te sinis ranarum
» memor, quæ sitientibus non irascuntur
» invidentve: nec tu invideas iratusque sis.
» Nullus jam non ineptus esse potest mariti
» metus, ut vides, mortui: meis nunc utaris;
» utaris domina;

» Ἆσον, χελιδών· εἰπὲ θελκτικὸν μέλος·
» Μοῦσαι γὰρ αὐταὶ νέκταρ ἐγχέουσί σοι,
» καὶ σὸν μελιχρὸν συγγλυκαίνουσι ϛόμα.
» Πλὴν ἀλλὰ τί μοι ταῦτα; τὸν σκοπὸν μάθε.
» Αὐχμὸς ποταμῷ καὶ χιὼν δένδρῳ βλάβη,
» ϛρουθοῖς τὸ λίνον, ἡ νόσος τῷ σαρκίῳ,
» νεανίαις δὲ τῶν γυναικῶν ἀγάπη.
» Τί μοι βλεπούσῃ γνησίως τρισασμένως
» σύνοφρυς ἐϛὼς ἀγρίως ἀντιβλέπεις;
» Τέττιξ φίλος τέττιξι, ποιμὴν ποιμέσι,
» μύρμηξι μύρμηξ· ἀλλ' ἐμοὶ σὺ, καὶ μόνος.
» Ἔρως δὲ τυφλὸς, οὐ γὰρ ὁ Πλοῦτος μόνος.
» Ζητεῖ τὸν ἄρνα λύκος, αἲξ χλωρὰν πόαν,
» λαγὼν δε κύνες, ἀμνὸν ἄρκτος ἀγρία,
» ϛρουθῶν νεοσσοὺς ἀγκυλώνυξ ἱέραξ·
» ἐγὼ δέ σοι τὸ φίλτρον αὐξάνω μόνῳ.
» Ἀεὶ δὲ νωθρὸς σὺ πρὸς ἡμᾶς καὶ πάλαι·
» νικώμενος γὰρ οὐ φρονεῖς τὰ βατράχων·
» οὐ γὰρ ἐκεῖνοι τοῖς χανοῦσιν εἰς ὕδωρ
» ἐπεγκοτοῦσιν ἢ φθονοῦσι· μὴ σύ γε.
» Οὐδεὶς, Χαρίκλεις, εὐλογώτατος φόβος,
» τοῦ συζυγέντος, ὡς ὁρᾷς, τεθνηκότος·
» τοῖς οὖν ἐμοῖς κέχρησο καὶ τῇ κυρίᾳ·

» κάταρχε, σατράπευε, δοξάζου μέγα·
» ἀντ' αἰχμαλώτου δεσπότης πάντων γίνου
» τῶν κειμένων μοι χρημάτων, τῆς οὐσίας·
» τὴν σὴν ἀδελφὴν τὴν Δροσίλλαν παρθένον,
» ἐλευθέραν μοι καὶ συνάρχουσαν, βλέπε
» οἵῳ θελήσει συζυγεῖσαν σατράπῃ.
» Τίς μὴ τοσοῦτον ὄλβον ἀνθέλοιτό μοι;
» Τοσαῦτα λαβὼν, ἀνθυπόσχου τὸν γάμον,
» ἄνερ Χαρίκλεις, εὐκλεές μοι νυμφίε. »
Ἔφησε ταῦτα, καὶ Δροσίλλαν ἀσμένως
(ἐχρᾶτο καὶ γὰρ ἀγγέλῳ τῇ παρθένῳ)
ἐν ἀγκάλαις τίθησι, καί « γένοιό μοι
» συνεργὸς » εἶπε « τοῦ Χαρικλέος γάμου,
» πασῶν γυναικῶν ὑπερηγαπημένη·
» τὰς δωρεῶν γὰρ αὐτοπίστους ἐγγύας
» ἔχεις μαθοῦσα· τί λόγων μοι πλειόνων; »
Τοιούσδε πικροὺς εἰσδεδεγμένη λόγους,
πρηστὴρ κεραυνὸς φεψαλοῖ τὴν παρθένον·
μερίζεται δὲ διπλόῃ τῶν φροντίδων·
« Εἰπεῖν γὰρ αὐτὸν τὸν σκοπὸν τῆς Βαρβάρου
» οὐ βούλομαι νῦν » φησὶ « πρὸς Χαρικλέα·
» ἀνέξεται γὰρ οὐδ' ἐκεῖνος ἂν λέγω·
» ὅμως ἀφορμὴ τοῦ τυχεῖν Χαρικλέος·

» princeps, satrapa fias; honores capesse » summos; pro servo sis omnium dominus » rerum quascumque possideo. Sororem » tuam, Drosillam virginem, cerne liberam » factamque meæ potestatis sociam, et illi » quem elegerit nuptam satrapæ. Quis tan- » tam felicitatem non statim accipiet? Pro » tot beneficiis nuptias mihi sponde tuas, » Charicles marite et inclyte conjux. » Dixit, et Drosillam, qua internuntia utebatur, læto fovet complexu, et « sis mihi » inquit « Cha- » riclei conciliatrix hymenæi, ante cunctas » tu mihi carior fœminas. Fida audisti certa- » que donorum promissa.. Quid longioris » opus sermonis? » Tristibus acceptis hisce verbis, fulmine veluti percussa obstupet virgo, curisque partes animus in ambas scin- ditur: « Mulieris barbaræ mentem nolo nunc » ait « aperire Charicli; nequaquam enim me » hæc dicentem patietur. Attamen hæc fue- » rit Chariclem videndi occasio:

« ibo alacris illumque alloquar. » Ad Chariclem igitur adit, cum jam sol occasui declivis esset, et postquam Cratylus a suis ad hoc officium congregatis more fuerat barbarico sepultus. Nuntiavit mœsta virgo quæ nuntiare jussa fuerat, et incorporeo tristis nuntii gladio medium dissecuit amantis pectus : « Hei ! mihi ! » Charicles ait : « fu-
» nestum hunc diem ! O dulcis mea lux, o
» Drosilla, quam amarum mihi adtulisti
» nuntium ! Heu ! Heu ! Hirundo præ aliis
» dulciloqua, o tu cui os est aureum, mel-
» litum, varium adeo, mentem meam tuis
» sermonibus amaritudine satiavisti. » — « Ah !
» Charicles ! ah ! crudelem fortunam ; quæ
» me tam diuturnis opprimit sollicitudini-
» bus ! Oh ! qui periculorum erit nostrorum
» variarumque finis miseriarum ? Quis Deo-
» rum et quo tempore infortuniis imponet
» finem ? Quousque sæva Fortuna, adversus
» nos movebis tormenta varia, nosque denso
» malorum agmine oppugnabis ? »

» ἐλεύσομαι πρόθυμος εἰς ὁμιλίαν. »
Προσέρχεται γοῦν ἀμφὶ τὸν Χαρικλέα,
τοῦ φωσφόρου κλίναντος ἤδη πρὸς δύσιν·
ὁ γὰρ Κρατύλος τοῖς ὑπ' αὐτὸν συλλόγοις
τέθαπτο πάντως ὡς ὁ Βαρβάρων νόμος.
Ἔφασκεν, ἐξήγγελλε δυσφορουμένη·
ψυχὴν διέσπα τοῦ Χαρικλέος μέσην
ξίφει νοητῷ δυσχερῶν ἀκουσμάτων,
λέγοντος· « Οἴμοι, τῆς παρούσης ἡμέρας!
» Ὦ γλυκερὸν φῶς, ὦ Δροσίλλα παρθένε,
» ὡς πικρὸν ἦλθες φθόγγον ἀγγέλλουσά μοι!
» Αἴ! αἴ! χελιδὼν ἡ γλυκύφθογγος μόνη,
» ψυχὴν ἐμὴν σοῖς ἐξεπίκρανας λόγοις,
» χρυσοῦν μελιχρὸν ποικιλόγλωττον ςόμα. »
» Αἴ! αἴ! Χαρίκλεις, τῆς ἀπανθρώπου τύχης,
» ἥ τις με μακραῖς ἐκπιέζει φροντίσιν!
» Ὦ! ποῖον ἔςαι τῶν καθ' ἡμᾶς κινδύνων
» καὶ τῶν ἀναγκῶν τῶν πολυτρόπων τέλος;
» Ποῖος Θεῶν τίς, ἀλλὰ καὶ ποίῳ χρόνῳ
» νεμεῖ τελευτὴν τῶν κακοπραγημάτων;
» Ἕως πότε σχῇς, ἀγριαίνουσα Τύχη,
» κινεῖν καθ' ἡμῶν μηχανὰς πολυτρόπους
» καὶ συνδαμάζειν ἀλλεπαλλήλοις πόνοις;

Οὕτως ἐκείνων συςεναζόντων μέγα,
οὔπω παρῆλθον ἡμέραι δὶς ἐννέα
μετὰ τελευτὴν Κρατύλου τοῦ Βαρβάρου,
καὶ σατράπης ἄνακτος Αράβων Χάγου
πρὸς τὴν Χρυσίλλαν γράμμα δουλείας φέρει.
Ἤκουσεν ἡ Χρυσίλλα καὶ συνεςάλη
ἰδοῦσα Μόγγον· τοῦτο γὰρ ὁ σατράπης·
ἐςυφελίχθη τῇ θέᾳ τοῦ σατράπου,
ἐξεθροήθη· καὶ τὸν ὑιὸν Κλεινίαν
καλεῖ παρ' αὐτὴν, καὶ τὸ γράμμα λαμβάνει,
ταῖς ἔνδον αὐταῖς συλλαβαῖς οὕτως ἔχον·
« Ὁ τρισμέγιςος Χάγος, Ἀράβων ἄναξ,
» φόρους ἀπαιτῶ καὶ κελεύω λαμβάνειν
» ἀπὸ Χρυσίλλης Παρθάνακτος συζύγου
» καὶ τῆς ὑπ' αὐτὴν Παρθικῆς φυλαρχίας.
» Ἕλεσθε λοιπὸν θατέραν ἁδῶν δύο·
» ἢ συντετάχθαι τοῖς ἄνακτι τῷ Χάγῳ
» ὑπηρετοῦσιν εἰς ἐτησίους φόρους,
» καὶ τὴν ἐμὴν ἂν κερδανεῖν παραυτίκα
» ταχεῖαν εὐμένειαν, εἰ πείθεσθέ μοι·
» ἢ μὴν ἰδέσθαι τὴν ςρατιὰν τοῦ Χάγου
» ὑμῖν ἐπιβρίσασαν οὐ πεπεισμένοις. »
Τούτων ἀκούσας τῶν λόγων ὁ Κλεινίας

Sic ambo valde gemebant. Interea nondum effluxerant a morte Cratyli dies bis novem, cum Chagi, Arabum regis, satrapa Chrysillæ adfert formulam servitii. Viso auditoque Meggo (nam hoc erat satrapæ nomen), Chrysilla dejecta est animum, turbataque valde et commota; vocatoque ad se Clinia nato, assumit epistolam his enuntiatam verbis: « Ter maximus Chagus, Rex » Arabum, tributa peto mihique pendi jubeo » a Chrysilla Parthorum regis conjuge, et a » Parthis ipsi subditis. Eligite ergo duarum » alteram conditionum: vel in eorum redigi » numero qui Chago Regi annua pendunt tri» buta, et promtam obedientia vestra bene» volentiam lucrari meam; vel Chagi exer» citum mox spectare vobis ingruentem non » parentibus. » His auditis, Clinias

(quod erat sævior ingenio quidam et ad arma promtior horrida) epistolam mediam laceravit, et Moggum Chagi satrapam non sine contumeliis abire jussit. Redux in patriam, Moggus hæc omnia Chago narravit, regisque mentem ira implevit. Cumque sine mora duces in unum convocasset, jam ad bellum jussu regio inflammatos, ipse eques medio stetit peditum exercitu in magnum orbem extenso, fastus et animorum plenus, certusque magnum ex hostibus statuere tropæum. Sinistra auro imbracteatum gestabat clypeum, in quo cernebatur Hercules Lernæam conficiens hydram, ingens animi in prælia incentivum. Debuit enim imaginis artifex in bellatoris egregii clypeo nobilissimum pingere robustissimi certamen Herculis. Splendido ornatu speciosus, arcu et pharetra gladioque armatus, stabat inter medios Chagus eques,

(Θρασὺς γὰρ ἦν τις καὶ σφριγῶν τὰ πρὸς μάχην),
ἐπιστολὴν ἔῤῥηξε ταύτην εἰς μέσον,
καὶ Μόγγον αὐτὸν τοῦ Χάγου τὸν σατράπην
μεθ' ὕβρεων ἔπεισεν ἀνθυποστρέφειν.
Εἴρηκε ταῦτα πάντα, πατρίδα φθάσας,
ἄνακτι Χάγῳ Μόγγος αὐτῷ σατράπης·
εἴρηκεν, ἐπλήρωσε θυμοῦ τὸν Χάγον.
Καὶ τῶν στρατηγῶν συλλεγέντων ἐν τάχει,
πρὸς ἀντιπαράταξιν ἠρεθισμένων
ἐκ τῶν ἄνακτος τοῦ Χάγου προσταγμάτων,
ἔφιππος ἔστη τοῦ στρατοῦ μέσον Χάγος
πεζῇ καταρτίσαντος εὐμήκη κύκλον,
δόξης τε μεστὸς καὶ φρονήματος γέμων·
καὶ δῆλος ἦν τρόπαιον ὑψώσων μέγα,
ἀσπίδα χρυσῆν ἐν μέρει λαιῷ φέρων
στρατηγικῶς ἔχουσαν εἰκονισμένον
τὸν Ἡρακλῆ κτείνοντα Λερναίαν ὕδραν,
θυμὸν παροτρύνοντα καὶ νοῦν εἰς μάχην·
ἐχρῆν γὰρ ἐχρῆν τῆς γραφῆς τὸν ἐργάτην
εἰς ἀνδρὸς εὐθώρακος ἀσπίδα γράφειν
μέγιστον ἆθλον εὐσθενοῦς Ἡρακλέος.
Τοιοῦτος ἔστη λαμπρὸς ἱππότης Χάγος,
τόξον, φαρέτραν καὶ σπάθην ἠρτημένος,

« Ἄνδρες στρατηγοὶ καὶ φαλαγγάρχαι, » λέγων
» τοῖς Ἄρεος χαίροντες ἄθλων ὀργίοις,
» ὁ συστρατηγὸς Μόγγος ἐξ ἐμοῦ κράτους
» πρὸς Παρθικὴν χθὲς οὐθένειαν ἐστάλη,
» ἧς ἐγκρατὴς νῦν ἐστὶν υἱὸς Κλεινίας
» μετὰ Χρυσίλλης τῆς ἐκεῖνον τεξάσης,
» φόρους ἀπαιτῶν, καὶ κελεύων αὐτίκα
» Ἄραψι Πάρθους ἐκτελεῖν ὑπουργίαν·
» ἀλλ' οὐκ ἐδέχθη μικρὸν ἐμμεῖναι χρόνον,
» οὐ πρὸς Χρυσίλλης, οὐ πρὸς αὐτοῦ Κλεινίου,
» μεθ' ὕβρεων δὲ μᾶλλον ἀνταπεστάλη.
» Τί φατὲ λοιπὸν, » Χάγος ἵσταται λέγων,
» ξυναυλία χαίραθλε καὶ ξιφηφόρε; »
» Ἄναξ μάκαρ, » ἔφασαν οἱ στρατηλάται,
» οὗ τὸ κράτος φρίττουσι καὶ τὰ γῆς ἄκρα,
» πᾶσα στρατιὰ, πᾶσα Βαρβαραρχία,
» καὶ Περσανάκτων ἀρχιπερσοσατράπαι,
» καὶ πᾶς τις ἐχθρὸς, πᾶς ἄναξ, πᾶς σατράπης·
» ὄλεθρος ἡμῶν ἐστὶ καὶ πλατὺς γέλως
» τοῖς μακρὰν ἡμῶν, τοῖς πέριξ καὶ τοῖς πέλας
» καταφρονεῖσθαι Παρθικῇ στρατarχίᾳ,
» ἣν οὐδὲ τῆς σῆς χρῄζομεν παρουσίας
» καταστροποῦσθαι, τῇ Θεῶν συνεργίᾳ.

et talia dixit : « Duces et phalangium recto-
» res, quibus placent bellica Mavortis orgia,
» socius vester Moggus heri fuit a me, Rege
» potentissimo, viles ad Parthos legatus,
» quos nunc Clinias, una cum Chrysilla
» matre, regit, tributa postulaturus, jus-
» surusque Parthos Arabibus subditorum
» præstare officia. Sed Chrysilla et ipse
» Clinias Moggum vetuerunt vel paulisper
» istic commorari, contumelioseque fuit di-
» missus. Quid demum sentitis, viri, præ-
» liorum avidi gladiisque cincti? » Cui contra
duces : « Rex felicissime, cujus verentur
» potentiam et orbis fines, et exercitus om-
» nis, cunctique Barbari, et Persarum re-
» gum archisatrapæ, hostesque cuncti,
» cuncti reges, satrapæ cuncti; periimus,
» nimiumque fiemus ridiculi longinquis vi-
» cinisque populis, si nos Parthicus despexerit
» exercitus, ad quem fugandum, annuenti-
» bus Deis, ne tuæ quidem egemus præsentiæ.

» Nos ergo solos illis opponito ; nobis
» hostes in adversos incurrere detur, poten-
» tiæ tuæ eximiæ subditis ; nec in istos armis
» temere instructos colonos, piratico more
» rapinis victitantes, moveatur tremenda
» Chagi Majestas.» — « Virtutem quidem laudo
» vestram » respondit rex Arabum Chagus :
» o cognati, sociique periculorum, clypeati
» viri, et e terra nati felice opum altriceque
» equorum. Attamen, Epaminondas, vir
» fortissimus, cum exercitum cerneret ma-
« ribus plenum animis, sed duce carentem,
» *Ingens*, inquit, *fera, sed caput non habet*.
» Ergo æquum est me una cum vobis inire
» aciem, o commilitones, amicique paterni.»
Talia fatus, agmina circumspexit, quæ tota
ducis vocibus faustum adclamaverunt. Interea
miles, ut profectionis falleret expectationem,
equum assuefaciebat tubæ clangoribus æreæ-
que voci, galeam polibat ;

» Ἡμᾶς μόνους νῦν ἀντεπιστρατευτέον,
» ἀντιδρομῆσαι προς τὰ τῶν ἐναντίον,
» ἐπιτραπέντας τῷ μεγίστῳ σου κράτει,
» ὡς μὴ πρὸς αὐτοὺς, τοὺς ἐνόπλους ἀγρότας,
» τοὺς λῃστρικῶς ζήσαντας ἐξ ἁρπαγμάτων,
» τὸ σὸν κινηθῇ παντοτάρβητον κράτος. »
« Αἰνῶ μὲν ὑμᾶς τῆς τόσης εὐανδρίας, »
ὁ Χάγος ἀντέφησεν Ἀράβων ἄναξ,
« ἐμὸν γένος σύναθλον ἀσπιδηφόρον,
» αὐτόχθονες γῆς ὀλβίας ἱπποτρόφου·
» πλὴν οὖν Ἐπαμινώνδας, ἀνὴρ γεννάδας,
» ἰδὼν στρατὸν γέμοντα πολλῆς ἀνδρίας,
» ἀλλὰ στρατηγὸν ἄνδρα μὴ κεκτημένον,
» ἔφη· Μέγας θὴρ καὶ κεφαλὴν οὐκ ἔχει.
» Λοιπὸν μεθ' ὑμῶν συστρατεῦσαί με πρέπον,
» ὦ σύμμαχοί μοι καὶ πατρῷοι φίλοι. »
Οὕτω μὲν αὐτὰς εἶπεν Ἀράβων ἄναξ,
καὶ τὴν ἑαυτοῦ στρατιὰν διεσκόπει·
ὁ πᾶς δὲ λαὸς τοῦ στρατοῦ τῶν Ἀράβων
ἐπευφήμησε τοῦ κρατοῦντος τοῖς λόγοις·
ἐκαρτέρει δὲ μὴ διϊππεύειν ἔτι,
σάλπιγγος ἦχον καὶ βοὴν χαλκοστόμου
τὸν ἵππον ἀσκῶν, καὶ καθαίρων τὸ κράνος,

καὶ συμβιβάζων εἰς μάχας τοὺς δακτύλους.
Ἔνευσε τοίνυν ὁ κρατῶν προσαλπίσαι·
ἵππευσεν ἅπας ὁ στρατὸς τῶν Ἀράβων,
καὶ μέχρι Πάρθου τῆς ταλαίνης πατρίδος
εἰς ὄγδοον φθάνουσιν ἡμερῶν δρόμον.
Σκηνοῦσι τοίνυν ἐν μέσῃ πεδιάδι,
Σάρου ποταμοῦ προῤῥέοντος ἐγγύθεν.
Ἡ δυσμενὴς δὲ Παρθικὴ φυλαρχία
Ἄραψιν ἐκτος οὐκ ἐθάῤῥει τὴν μάχην,
πολλῆς παρούσης ἱππικῆς στραταρχίας·
οὐκοῦν περικλείσασα τέχνῃ τὰς πύλας,
τὸ τεῖχος ὠρόφωσε πέτραις χερμάσι,
καὶ πετροπομποῖς τετρατάρσοις ὀργάνοις·
ἔστησε τοὺς βάλλοντας ἐκ τῶν ὑψόθεν.
ἄνδρας ἐνόπλους λιθολεύστας εὐστόχους,
καὶ τοξοχαρεῖς σφενδονήτας ὁπλίτας·
ὕψωσε πύργους ἀσφαλεῖς ἀπὸ ξύλων·
ἐσφιγξεν αὐτοὺς συμπλοκῇ τῇ τῶν λύγων
πύργους· ἀπηώρησεν ἐκ τῶν τειχέων
φύλακας αὐτῶν ἀντιτύπους κωδώνους·
πᾶσαν κατωχύρωσεν αὐτοῖς τὴν πόλιν
πρὸς Ἀραβικὴν καρτερέμβολον μάχην.
Ἀλλ' αἱ κατ' αὐτῶν εἰσδραμοῦσαι μυρίαι

et manus inter se conferebant, pugnæ præludium. Tandem canere signa jussit imperator, totusque Arabum exercitus, conscensis equis, tendunt iter, et octavo die Parthicos attingunt fines. Media planitie, Sarum juxta fluvium, tentoria ponunt. At Parthorum exercitus hostilis pugnam cum Arabibus extra muros non audebat, quippe quibus magna esset equitum vis. Igitur obseratis sedulo portarum undique aditibus, murum congestis saxis manualibus operuit, et machinis, quæ quatuor quasi alis instructæ lapides longe evibrabant. Armatos milites, jaculandique peritos Parthus disposuit, qui desuper arcubus, fundis, lapides, tela jacerent. Turres e ligno validas erexit, quas viticibus arcte junctis circummunivit. E mœnibus suspendit coria quæ ictus exciperent, illaque protegerent; totamque circum circa urbem hoc artificio ab Arabicarum machinarum assultu defendit. Sed innumeræ

Arabum clypeatorum phalanges vicinos incursu agros desolabant : et nonnulla statim expugnabant castella ; si quæ vero primo non poterant capere impetu , finitimos agros incendebant, urebant, agricolasque redigebant in servitutem : atque sic ingentem infandamque vastitatem longis Arabes lanceis faciebant. Die vero insequenti machinas ærato ore terribiles portis ipsis admoverunt, magnumque e viticibus propugnaculum sibi texentes, machinis suis lapidariis munimen, quo a Parthicis saxorum jaculationibus defenderentur. Mittebant in murum Arabes saxa ; sagittarii Parthos strenue feriebant, et e muris decidebant vulnerati ipsis cum arcubus ipsisque cum lapidibus. Jam missilia saxa pinnarum summitatem attigerant, convellebant, disjiciebantque. Attamen nocturno dolo Parthi Arabum machinas aggrediuntur. Parthi enim mire callent modos reperire dolosque struere

Ἀραβικαὶ φάλαγγες ἀσπιδοφόροι
σφοδρῶς ἐληΐζοντο τοὺς πέριξ τόπους.
Ἃ μὲν κατεστρέφοντο τῶν σφῶν φρουρίων·
ἃ δ᾽ οὐχ ἑλεῖν ἴσχυον εὐθὺς τοῖς ὅπλοις,
τὴν ἐν κύκλῳ γῆν, τοὺς κατοίκους ἀγρότας,
ἠνδραπόδιζον, ἠνθράκουν, ἐπυρπόλουν·
οὕτω πολὺν δύσφραστον ἀνθρώπων φθόρον
Ἄραβες εἰργάσαντο μακροκοντίοις.
Ἐς αὔριον δὲ μηχανὰς χαλκοστόμους
ἔστησαν ἐγγὺς καὶ πρὸς αὐταῖς ταῖς πύλαις·
τεῖχος δὲ συμπλέξαντες ἐκ λύγων μέγα,
τοῖς πετροπομποῖς ἀντεπέστησαν σκέπην
τὰς Παρθικὰς εἴργουσαν ἀφέσεις λίθων.
Ἔπεμπον εἰς τὸ τεῖχος Ἄραβες λίθους·
ἔβαλλον αὐτοὺς εὐστόχως οἱ τοξόται·
ἐκ τειχέων ἔπιπτον οἱ βεβλημένοι
τόξοισιν αὐτοῖς καὶ μετ᾽ αὐτῶν τῶν λίθων·
ἔρριπτον ἤδη τὰς ἐπάλξεις οἱ λίθοι,
ἔτυπτον, ἐσπάραττον αὐτὰς εὐστόχως.
Πλὴν γίνεταί τι σκέμμα νυκτίου δόλου
Πάρθων παρ᾽ αὐτῶν τῶν Ἀράβων ὀργάνοις
(δεινὴ γάρ ἐστι Παρθικὴ φυλαρχία
τρόπους ἐφευρεῖν καὶ καταρτίσαι δόλους

δι' ὧν ἀποτρέψαιτο τοὺς ἐναντίους)·
οἳ ςάντες ὑψοῦ καὶ σκοπήσαντες κάτω·
ὡς εὐςοχῆσαι τὰς βολὰς πρὸς τοὺς λύγους
τοὺς εἰς Ἀράβων χρηματίζοντας σκέπην,
σίδηρον ἐκπέμψαντες ἠνθρακωμένον,
τεφροῦσι πάσας μηχανὰς τῶν Ἀράβων·
ξηραὶ γὰρ οὖσαι τῶν λύγων αἱ φυλλάδες,
ἑτοιμόφλεκτοι τῇ πυρὸς παραθέσει
ὤφθησαν· ἐξέκαυσαν ἀλλὰ ῥᾳδίως
ἀμυντικῶν ἅπασαν ὀργάνων θέσιν.
Ἐντεῦθεν ἦχοι καὶ κρότοι τῶν κυμβάλων
ἐκ Παρθικῆς ἠρθησαν ἀγερωχίας.
Πλὴν τοῦ τρίτου φθάσαντος ἡμέρας δρόμου,
Ἄραβες ὡπλίσαντο, καὶ μεμηνότες
ὅπλοις ἐκυκλώσαντο πᾶσαν τὴν πόλιν,
καὶ, συῤῥαγείσης καρτερωτάτης μάχης,
τὸ Παρθικὸν πύργωμα συγκατεσχέθη.
Ἐκεῖσε πάντως οὐχ ὁ χαλκόθρους Ἄρης
Παρθῶν μεταξὺ καὶ μαχητῶν Ἀράβων
ἐμέμψατο ςὰς τῆς μάχης κροτουμένης.
Ἡ γοῦν Χρυσίλλα, Κλεινίου πεπτωκότος
(καὶ γὰρ μεταξὺ τῆς μάχης ἀνῃρέθη),
μάχαιραν ἐξήρπασεν εὖ τεθηγμένην,

quibus hostes debellentur. Stantes desuper, et defixo deorsum obtutu, ita ut ictus dextro nisu in vitices intenderent qui Arabibus erant pro munimine, candentia ferri jacula mittunt quibus omnes obsidentium incenduntur machinæ. Arida quippe viticum folia, appositum ignem subito conceperunt, et brevi machinarum apparatus omnis incendio corruptus est Tunc Parthi feroces tinnitibus et sonis cymbalorum multiplicibus cœlum ruperunt. Cum vero tertius illuxit dies, Arabes, sumtis armis, mentibusque furiati totam late urbem circumcingebant; et, validissimo exorto certamine, Parthicum asty vi occupant. Mars ipse terribilis inter Parthos stans Arabesque bellicosos non potuit non animoso plaudere prælio. At Chrysilla, mortuo Clinia qui media in pugna perierat, ensem rapuit acutissimum,

quo per ipsum cor adacto, animam nati cimitem miserabiliter eructavit. Drosilla autem, in media cæde mediosque inter gladios (gladii enim in formosas sunt hebetiores), nullis fuit læsa vulneribus. Major incolarum pars fuit ense victorum cæsa, Parthicæque copiæ ingenti deletæ sunt internecione. At Drosilla Chariclesque et una cum ambobus Cleander, Arabico ense devitato, vinculis constricti, eisque arctissimis, triga infelix, tertia vice, tertia fuerunt captivitate damnati.

καὶ δὴ κατ' αὐτῆς ἐμβαλοῦσα καρδίας
ψυχὴν μετ' αὐτοῦ δυστυχῶς ἐρυγγάνει.
Ἡ δὲ Δροσίλλα, καίπερ ἐν μέσῳ φόνων
(εἰς γὰρ τὸ κάλλος ἀσθενοῦσι καὶ ξίφη),
μέσον ξιφῶν ἔμεινεν ἐκτὸς τραυμάτων·
τοὺς πλείονας δὲ τῶν ἔσω φρουρουμένων
τὸ τῆς μαχαίρας ὑπεδέξατο στόμα·
καὶ Παρθικῆς μὲν δυσμενοῦς φυλαρχίας
πολλὴ κατεκράτησε πανωλεθρία·
ὁ Χαρικλῆς δὲ σὺν Δροσίλλῃ τῇ κόρῃ,
ναὶ μὴν σὺν αὐτοῖς καὶ Κλέανδρος ὁ ξένος,
δεσμοῖς συνεσχέθησαν, ἀλλὰ δυσλύτοις,
Ἀραβικὴν μάχαιραν ἐκπεφευγότες,
καὶ φεῦ! κατακριθέντες οἱ τρεῖς ἐκ τρίτου
τρίτης μετασχεῖν αὖθις αἰχμαλωσίας.

ΤΩΝ

ΚΑΤΑ ΔΡΟΣΙΛΛΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

Ο ΓΟΥΝ κράτιστος Χάγος Ἀράβων ἄναξ
τὰς μὲν γυναῖκας, οἰκτισάμενος τάχα,
καὶ πᾶσαν ἀνθύπαρξιν εὖ κινουμένην
ταῖς ἁρμαμάξαις εἶπεν ἐντεθεικέναι,
τοὺς δ' αἰχμαλώτους τῶν γυναικῶν χωρίσας,
πεζοὺς βαδίζειν ἐγκελεύεται μόνους.
Ἤλαυνε λοιπὸν θᾶττον εἰς τὴν πατρίδα.
Καὶ δὴ ἰόντων εἰς ἐπίκρημνον τόπον
συνηρεφῶς ἔχοντα πολλῆς ἐξ ὕλης,
κλάδος παρεμφὺς τῇ Δροσίλλης ἀγκάλῃ,
ἐξ ἁρμαμάξης εὐχερῶς ἀφαρπάσας,
κατὰ πρανοῦς ἔῤῥιψεν ἐξ ἕδρας μέσης·
ἣν καὶ θαλάσσης ἀγριαίνων ὁ κλύδων
τὰ πρῶτα τύπτει ταῖς παραλίαις πέτραις.
Θάλασσα καὶ γὰρ ἀμφὶ τὴν πέζαν ὄρους

DROSILLÆ ET CHARICLIS

RERUM

LIBER SEXTUS.

Igitur potentissimus Arabum rex Chagus mulieres, misericordia statim tactus, et suppellectilem omnem quæ facile removeri poterat, plaustris imponi, captivos vero a mulieribus sejunctos pedibus solosque incedere jubet. Cæterum iter in patriam tendit ocyus. Jamque devenerant locos præruptos et densis opertos arboribus: ecce ramus ulnæ Drosillæ forte adhæsit, ipsamque, a plaustro violenter retractam, detrusit e sede præcipitem. Primumque sævi maris fluctus miseram litoreis adfligunt rupibus. Mare etenim circa montis radices

litus non adluebat arena molli conspersum, sed profundum nigrorumque saxorum prominentiis asperum. Attamen non ita longo post tempore unda ipsi adtulit quercus corticem aridum et bene longum, cui innatans sub vesperam tuto ad terram appulit desertam. Drosillæ fatum Charicli nondum innotuerat. Nam silva densior prohibuerat quin videret cadentem e sedili: profecto se statim mittens præcipitem, illi imis sub fluctibus comes adfuisset. Parvus quidam puer, et corde tenero præditus, qui cum Drosilla solus eodem in plaustro consederat, illam cernens in profundo delapsam, clamorem tunc sustulit inanem. Ab illo Charicles, jam advesperascente die, puellæ casum rescivit, mediumque dilaceratus dolore pectus, « Oh » eventum » ait « ærumnabilem! Oh mise- » rum, miserum Chariclem! Fortuna, cru- » delis, infensa, in supplicium intenta » meum, post errores tantos, post carceres » et vincula,

οὗ ψάμμον ἀκτῆς εἶχεν ὑπεστρωμένην,
πετρῶν μελαινῶν ἐξοχὰς δὲ καὶ βάθος.
Χαρίζεται δὲ μικρὸν ὕστερον πάλιν
φλοιὸν δρυὸς μήκιστον ἐξηραμμένον,
δι' οὗπερ εἰς γῆν ἦλθεν ἠρεμωμένην
ἀκινδύνως πλέουσα μέχρις ἑσπέρας.
Οὔπω ἐγνώσθη τοῦτο τῷ Χαρικλέει·
οὐ γὰρ κατιδεῖν ἐκ συνηρεφοῦς ὕλης
πεσοῦσαν ἔσχε τὴν Δροσίλλαν ἐξ ἕδρας·
ἢ γὰρ ἑαυτὸν εὐθέως συγκρημνίσας
συνῆλθεν αὐτῇ πρὸς θαλάσσης πυθμένας·
Ἀλλὰ βραχὺς παῖς ἁπαλόφρων καρδίᾳ
μετὰ Δροσίλλης ἐγκαθήμενος μόνης
εἰς μίαν ἁρμάμαξαν, ἀνεκεκράγει
ἰδὼν πεσοῦσαν εἰς θαλάττιον βάθος·
ὑφ' οὗ Χαρικλῆς, ἐκδραμούσης ἡμέρας,
τὴν τῆς κόρης ἔκπτωσιν ἀναμανθάνει·
ὃς καὶ σπαραχθεὶς ἐς μέσην τὴν καρδίαν,
« Ὢ συμφορᾶς » ἔφασκε « δακνοκαρδίου !
» Ὢ δυστυχὴς σὺ, δυστυχὴς σὺ, Χαρίκλεις !
» Ἔμελλες ἄρα καὶ μετὰ πλάνην τόσην,
» Τύχη πονηρὰ, δυσμενὴς, ποινηλάτις,
» μετὰ φυλακὰς καὶ μετ' αἰχμαλωσίας,

» μετὰ θαλάσσης κινδύνους πολυτρόπους,
» μετὰ τὸν ὄμβρον τῶν τοσούτων δακρύων,
» μετὰ φρικώδη λῃστρικὴν ἀστοργίαν,
» μετὰ ζυγὸν δούλειον ἀθρόας μάχης,
» ἀντεισβαλεῖν μοι συμφορὰν βαρυτέραν,
» ἣν οὐκ ἐνεγκεῖν ἐστὶ τῷ Χαρικλέει;
» Ἔμελλες αἴ! αἴ! καὶ διασπᾷν εἰς τέλος
» τὴν ἀδιαχώριστον ἀλληλουχίαν,
» τὴν παντοκατάλληλον εὐαρμοστίαν;
» Πῦρ ἐν πυρὶ προσῆξας, ἐν φλογὶ φλόγα,
» βάθει προδοῦσα τῆς θαλάσσης τὴν κόρην,
» καὶ Χαρικλῆν ἐν ζῶσι συντηροῦσά με.
» Οὐκ ὄκνος, οὐ μέλλησις, οὐ ῥαθυμία
» μετὰ Δροσίλλης εὐτυχῶς συντεθνάναι·
» τί γοῦν ἀπεστέρησας, ἐγκοτοῦσά μοι,
» τοιοῦδε καλοῦ δυστυχῆ Χαρικλέα;
» Ἢ καὶ Δροσίλλαν ζῶσαν ἤθελον βλέπειν,
» ἢ μηδ' ἐμαυτὸν τῆς κόρης ἀπουσίᾳ.
» Ὦ, ὦ ποθεινὴ, καὶ μόνη μοι τῷ βίῳ
» ὀφθαλμὲ, καὶ φῶς, καὶ πνοὴ, καὶ καρδία,
» ἔσβης, ἔδυς, ἔληξας, ἐψύχθης ἄφνω!
» Ὡς εὐτυχὴς ἦν καὶ πρὸ μικροῦ, παρθένος,
» ἔχων σε συμπάσχουσαν εἰς εὐθυμίαν!

» post varia pelago pericula, post tantos » lacrymarum imbres, post immanem pira- » tarum diritatem, post servitutem atroxque » prælium, debuerasne et hanc mihi cala- » mitatem injicere cæteris graviorem, quam- » que sustinere non valeo. Debuerasne heu! » divellere in perpetuum non divellendam » amborum caritatem, et aptam utrius- » que societatem? Ignem igni admovisti et » flammæ flammam, maris profundo virgi- » nem tradens, et Chariclem inter vivos ma- » nere sinens. Non mora fuisset, non impe- » dimentum, dilatio nulla; voluissem cum » Drosilla mori feliciter: quid ergo irata » mihi tali me miserum bono defraudasti? » Cuperem vel vivam cernere Drosillam, » vel me non vivere, qui sim sine Drosilla. » O cujus fui cupiens unius, o quæ eras » una vitæ ocellus, lumen, et anima, et » cor, extincta es, te condidisti, cessasti, » subito fuisti pressa gelu! Quam fui modo » felix, o Virgo, qui te doloris habebam so- » ciam solamenque!

» Sicut viator, cum sol incenderet æthera,
» per umbram tuis infusus ulnis, aurea pul-
» chraque platane, doloris vitabam ardores
» et onus ægrimoniæ. Jaces heu! arbos juve-
» nis elataque, sicca nunc et mortua. Quod
» si te fluctus forte in litus rejecerit, jaces mi-
» serandum intuentibus spectaculum: humi
» fusam cernere te mihi videor; jamque ex
» oculis cadat meis lacrymarum imber. Ast
» hæreo dubius; res mihi mirationem parit:
» qui, arbor, in mediis aruisti fluctibus?
» Ah! si te prius e vita migravissem, forsan
» et mortuus, ob immensum tui desiderium,
» vixissem rursus, quamvis vivere me ne-
» quaquam necesse fuerit: neutiquam susti-
» nebo a mea puella, vitæ modo meæ socia,
» divelli. Heu! Heu! prior abis, et tecum
» abire volo. Papæ! misere a me fuisti dis-
» vi juncta, non secus ac ramus congenita
» stirpe revulsus. Oh! dulcis conspiratio co-
» gnatioque, duarum unitas animarum et
» consona societas, spiritus unus, una mens,
» una ratio, intellectus unus, duobusque
» una semper sententia pectoribus!

» Ἐξ ἡλίου φλέγοντος, ὡς ὁδοιπόρος,
» ὑπὸ σκιὰν ἔπιπτον ἐν σαῖς ἀγκάλαις,
» χρυσῆ καλὴ πλάτανε, τῆς ἀθυμίας
» καυσῶνα φεύγων καὶ τὸ τῆς λύπης βάρος.
» Κεῖσαι τὸ δένδρον καὶ νεαρὸν καὶ μέγα,
» πλὴν ξηρὸν ἤδη καὶ νεκρὸν, ζῶν οὐκ ἔτι,
» οἶκτος μὲν ἄλλοις τοῖς ὁρῶσιν ἐγγύθεν,
» εἴπου τὸ κῦμα τῆς θαλάσσης ἐκβράσαν
» ἔῤῥιψεν ἔξω· καθορῶ δὲ κειμένην·
» ἐμοὶ δὲ λοιπὸν δακρύων ἐπομβρίαι.
» Ἐπαπορῶ· τὸ πρᾶγμα θαῦμά μοι φέρει·
» πῶς ὑδάτων, ὦ δένδρον, ἐψύγης μέσον;
» Ὡς εἰ πρὸ σοῦ φεῦ! ἐκ βροτῶν βὰς ᾠχόμην,
» τάχ' ἂν θανὼν ἔζησα, κἂν ζῆν οὐκ ἔδει.
» Οὔκουν ἀνεκτὸν οὐδαμῶς οὐδ' ἐν μέρει
» νοσφισμὸς ἤδη συμπνεούσης παρθένου.
» Αἶ! αἶ! προοίχῃ, καὶ συνοίχεσθαι θέλω.
» Βαβαί! πονηρῶς ἐξ ἐμοῦ διῃρέθης,
» ὡς οἷά τις κλὼν συμφυοῦς πτόρθου βίᾳ.
» Ὦ προσφιλὴς σύμπνοια καὶ συμφυΐα,
» ψυχῶν δυοῖν ἕνωσις καὶ συμφωνία,
» ἓν πνεῦμα, νοῦς εἷς, εἷς λόγος καὶ φρὴν μία,
» ἓν πανταχοῦ νόημα δυσὶ καρδίαις!

» Ποίου σε νηκτοῦ συγκατέκλειυε ςόμα;
» Ποῖόν σε κῆτος ἐκπέπωκεν ἀθρόον;
» Ἆρ᾽ ἐν θαλάσσῃ λῆξιν εὗρες τοῦ βίου,
» ἢ κρημνὸς ἐζόφωσε σὰς κόρας, κόρη,
» κεῖσαι δὲ νεκρὰ θηρίοις προκειμένη
» εἰς δυςυχῆ δίαιταν ἠλεημένη;
» Ὤ! ποῦ ποτ᾽ εἶ νῦν; οὐ δραμεῖν γὰρ ἰσχύω,
» δεσμοῖς κρατηθεὶς, ψηλαφᾷν σε, παρθένε. »
Τούτοις ὁ Χάγος ἀντιπροσχὼν τοῖς λόγοις
(οὔπω γὰρ ὕπνος εἶχεν αὐτοῦ τὰς κόρας),
καλεῖ πρὸς αὐτὸν ἡκέναι Χαρικλέα,
οἴκτῳ μαλαχθεὶς καὶ παθὼν τὴν καρδίαν.
Ἤκουσεν, ἦλθε πενθικῶς ἐςαλμένος.
Ὁ Χάγος εἶπε· « Τίς; πόθεν; τί δακρύεις; »
Ἔφη Χαρικλῆς· « Αἰχμάλωτος Κρατύλῳ,
» δοῦλος δὲ σὸς νῦν· ἡ πατρὶς δέ μοι Φθία·
» θρηνῶ δ᾽ ἀδελφὴν, ἧς ἐγὼ λελειμμένος,
» ὡς ἐμπεσούσης φεῦ! θαλάσσης εἰς ὕδωρ,
» μισῶ τὸ βιοῦν, οὐδὲ φῶς θέλω βλέπειν. »
« Μὴ Πάρθον ὄντα, πατρίδος δ᾽ ἀπὸ Φθίας, »
ἔφησε Χάγος « πῶς κρατεῖ σε Κρατύλος; »
» Οἱ συγγενεῖς με πρὸς τὸ Καρίας πέδον
» μετὰ Δροσίλλης » ἦδ᾽ ὃς « εἷλκον ἐκ λόγων·

» Cujus te piscis os voravit ! quis te deglu-
» tivit cetus ? utrum in mari finem vitæ re-
» peristi, vel pupulæ, puella, tuæ saxa super
» lumine fuerunt orbatæ; jacetque corpus
» miserabiliter feris obvium tristeque præbens
» pabulum ? Oh ! ubi nunc es ? Vinclis enim
» constrictus currere non valeo te ut tangam,
» puella. » Hæc audiens verba Chagus, cujus palpebris somnus nondum insederat, Chariclem accersit ad se : remollescebat enim miseratione victus, durumque pectus flectebatur. Tenuit nulla mora vocatum, venitque habitu ad mœstitiam composito ; cui Chagus : « Quis et cujatis es ? Quorsum la-
» crymaris ? » Charicles contra : « Cratylo
» captivus fui, tibi nunc servus. Phthia pa-
» tria est. Sororem lugeo, qua carens (heri
» enim decidit in mare), jam odi vitam, nec
» lucem diutius cupio cernere. » — « Qui
» potuisti, Parthus cum non sis, sed Phthia
» oriundus, Cratylo uti domino ? » Chagus ait. Cui Charicles : « Propinqui mei quidam
» me cum Drosilla amicis invitaverunt verbis
» ad se in arva Cariæ ;

» cumque huc navigaremus, in piratas in-
» cidimus navibus usquequaque insidiantes
» ego et Cleander, meæ nunc servitutis so-
» cius, Drosillaque soror, ut jam memoravi.
» Hos vix effugere potuimus, navi dextre
» nos e conflictu proripientes, invitique ad
» Barzum urbem pervenimus. Parthorum
» vero hostilis exercitus captivos nos jure
» belli cepit, et, usque ad felicem tuum ad-
» ventum, summissis jugo cervicibus, infi-
» nitas toleravimus ærumnas. Non enim
» tantum propria nostrum angebamur cala-
» mitate, quantum Drosillæ malis, fœminæ,
» juvenculæque virginisque; et nunc illam
» propter lugemus, luminisque moestos tæ-
» det. » — « Laudo quæ dicis » Chagus ait.
» Ubi vero est Cleander ille? Confestim ad-
» sit. » Adfuit confestim, lacrymis ora opple-
tus, quippe qui proprium sibi gravissimum-
que ducebat Chariclis infortunium.

» πρὸς οὓς ἀποπλέοντες ὁλκαδιφθόρῳ
» ἐμπίπτομεν φεῦ! ληστρικῇ ναυαρχίᾳ,
» ἐγώ τε καὶ Κλέανδρος, οἱ συνοικέται,
» μετὰ Δροσίλλης τῆς ἀδελφῆς, ὡς ἔφην·
» οὓς καὶ μόλις φυγόντες, ὡς τῆς ὁλκάδος
» ἔξω παρ' ἡμῶν εὐτεχνῶς εἱλκυσμένης,
» ἄκοντες ἦμεν εἰς τὴν Βάρζον τὴν πόλιν·
» ἡ Παρθικὴ δὲ δυσμενὴς στραταρχία
» συνέσχεν ἡμᾶς αἰχμαλωσίας νόμῳ,
» καὶ μέχρι τῆς σῆς εὐτυχοῦς παρουσίας
» ὑπεντιθέντες τῷ ζυγῷ τοὺς αὐχένας
» ἐκαρτεροῦμεν ἀλλεπαλλήλους πόνους·
» οὐ γὰρ τοσοῦτον εἶχε τὸ πρᾶγμα θλίβειν
» ὁρῶντας ἡμᾶς τῇ βίᾳ νικωμένους,
» ὅσον Δροσίλλης ὑπεραλγοῦμεν χάριν
» γυναικὸς οὔσης καὶ νέας καὶ παρθένου.
» Καὶ νῦν δι' αὐτὴν καὶ τὸ φῶς δεδορκότες
» στυγοῦμεν, οἰμώζοντες, ὠδυνημένοι. »
« Εἴρηκας εὖ· » ὁ Χάγος ἀνταπεκρίθη.
» Ποῦ δ' οὗτος ὁ Κλέανδρος; ἐλθέτω τάχει. »
Ἔστηκην εὐθὺς δακρύων πεπλησμένος·
ὡς ἰδίαν γὰρ συμφορὰν δριμυτάτην
τὴν συμφορὰν ἡγεῖτο τοῦ Χαρικλέος.

ψυχὴ γὰρ ἄλγος ἴδιον κεκτημένη
ἑτοιμοπαθής ἐςι πρὸς τὸ δακρύειν,
ἄλλων λεγόντων καὶ ςεναζόντων μέγα
τὰς σφῶν ἑαυτῶν δυσμενεςάτας τύχας·
οὓς καὶ συναλγήσαντας ᾤκτειρε βλέπων,
τὴν καλλονὴν ἣν εἶχον ἐκπεπληγμένος·
παρεμφερεῖς γὰρ ἦσαν οἱ νεανίαι·
εἴρηκεν οὖν τοιούσδε συμπαθεῖς λόγους·
« Ἐπεὶ προεσχέθητε χειρὶ Κρατύλου,
» μόλις φυγόντες τὴν θαλαττίαν μάχην,
» ἐπεὶ φυλακῆς, καὶ πρὸ τοῦ Χάγου, τόπος
» κατέσχεν ὑμᾶς αἰχμαλώτους ἀθλίους
» (ἄλλως γὰρ ἐςὲ καὶ φιλάλληλον γένος),
» ἐλεύθεροι ςέλλεσθε σὺν καλῇ τύχῃ·
» μὴ γὰρ τοσοῦτον ἐκκυλισθείη Χάγος
» τῆς συμπαθείας τοῦ καθήκοντος τρόπου,
» ὡς αἰχμαλώτους μηδὲν ἠδικηκότας,
» μὴ τῶν Ἀράϐων ἀντιϐάντας τῷ κράτει,
» ξένους, πρὸ πολλοῦ δυςυχεῖς δεδειγμένους,
» δεσμοῖς βιαίοις συγκατασχεῖν εἰσέτι,
» τῶν φύσεως ἔξωθεν ἐκπίπτων νόμων.
» Μᾶλλον μὲν οὖν δίδωμι καὶ μνᾶς χρυσίου
« ὑπὲρ Δροσίλλης τῆς ἐπιθρηνουμένης,

Animus enim propriis pressus doloribus facile ad lacrymas movetur, si qui sua ipsorum coram defleant mala. Quos sibi invicem adplorantes cernens, misertus est Chagus, simul egregiam utriusque miratus pulchritudinem : nam alteri alter erat simillimus. Tales igitur edidit commoto pectore voces : « Quo» niam vix elapsos e navali pugna, vos jam
» Cratylus captivitate oppressit, et ante mea
» Chagi quæ fertis vincula, jam fuistis aliis
» constricti misere vinculis, ite liberi, quod
» sit felix faustumque. Quid, quod amat
» alter alterum egregie. Nec tantum recedat
» Chagus a miseratione quæ ipsius mores de» cet, ut captivos nihil in se injurios, qui
» Arabum potentiæ non restiterunt, hospites,
» longisque jam pressos malis, diutius vinctos
» detineat, invitis naturæ legibus. Immo
» defletæ causa Drosillæ auri minas dabo,

» quam si Dii morti eripuerint, Chagus
» splendide secum Fortunam egisse putabit:
» utinamque possitis servare liberam, si Dii
» voluerint illam ex abyssis vobis resti-
» tuere. ! » Igitur Charicles Cleanderque, par amicorum, ad Chagi pedes demissis cervicibus, terram lacrymis rigaverunt. Tandemque stans Cleander respondit (nam Charicles a lacrymis temperare nondum poterat): « Ipse Jupiter, rex superum,
» det tibi vicissim, Chage, potens Ara-
» bum imperator, menti quidquid placue-
» rit tuæ, et longæ impertiatur florentia
» vitæ tempora, hostesque tuo subjiciat
» cunctos imperio. » Tum Charicles talia subnectit: « Valeas, felix Arabum rex, tan-
» gatque tua nullus pectora dolor, Chage,
» qui nunc fratres miseros, terque quater-
» que infelices clementissime liberas. » Sic jam liberi ex Arabia dimissi retrorsum porrigebant iter, diligenti cura Drosillam perquirentes,

» ἡ πρὸς θεῶν ἐν ζῶσι συντηρουμένη
» ἕρμαιον ἔςαι καὶ Χάγου λαμπρᾶς τύχης.
» Καὶ συνδιασώσοιτε τὴν ἐλευθέραν
» ὅπου θεοὶ βούλοιντο σῶσαι τῶν κάτω. »
Οὐκοῦν Χαρικλῆς καὶ Κλέανδρος οἱ ξένοι
πρὸ τῶν ποδῶν κλίναντες αὐχένας Χάγου,
τὴν γῆν ἐποίουν πλημμυρεῖν ἐκ δακρύων.
Μόλις ποτὲ ςὰς ὁ Κλέανδρος ἀντέφη·
οὐ γὰρ Χαρικλῆς λῆξιν εἶχε δακρύων·
« Ζεῦς αὐτὸς ἄναξ ἀντιχαρίσαιτό σοι,
» Χάγε, κραταιὲ τῶν Ἀράβων αὐτάναξ,
» ψυχῆς ἅπαν νόημα τῆς σῆς συμβίου,
» δοίη δὲ μακρὸν εὐθαλῆ ζωῆς χρόνον,
» καὶ δυσμενὲς πᾶν ὑποτάττοι σῷ κράτει. »
Τούτοις Χαρικλῆς ἀντέφασκε τοιάδε·
« Χαίροις, Ἀράβων ὄλβιε κράτορ, Χάγε,
» λύπη δὲ τὴν σὴν μὴ κατάσχῃ καρδίαν,
» ἀνθ' ὧν ἀδελφοὺς τριπαθεῖς, τρισαθλίους,
» ἐλευθεροῖς νῦν ἐκ φρενῶν σωτηρίων. »
Οὕτως ἀπαλλαγέντες ἐξ Ἀραβίας,
ὥδευον ἄμφω τὴν ὀπισθίαν τρίβον,
ποιούμενοι ζήτησιν ἐμμελεςάτην
αὐτῆς ἐκείνης τῆς Δροσίλλης παρθένου,

ἣν τῷ πεσεῖν ᾤοντο μηδὲ ζῆν ἔτι.
Πλὴν ἀλλὰ καὶ πεσοῦσα καὶ σεσωσμένη,
καὶ κυκλικοὺς τρεῖς ἡμερῶν περιδρόμους
σὺν ἓξ διανύσασα ταῖς ἐρημίαις
(ὁδοιπορεῖν γὰρ εἶχεν οὐδαμοῦ σθένος
τῷ συμπιεσμῷ τῶν μελῶν, τῶν ὀστέων,
ὃν ἐξεκαρτέρησεν ἐκ κρημνισμάτων),
διατροφὴν ἔχουσα γῆς χλόην μόνην,
ἴσχυσεν ἐλθεῖν εἴς τι χωρίον μόλις
τῶν πρὸς τὸ βιοῦν ἀφθονωτάτως ἔχον.
Ἐκεῖσε πολλῶν σπερμάτων πανσπερμία,
γυναῖκες, ἄνδρες, παῖδες ὑπὲρ ἀστέρας,
καὶ πανδοχεὺς εὔσπλαγχνος ἀμφὶ τοὺς ξένους.
Ἰδοῦσα τοῦτο μακρόθεν τὸ χωρίον,
ᾐδεῖτο λοιπὸν εἰσελεύσεσθαι μόνη·
ὅμως πρὸς ἄκρον ἐκδραμοῦσα τοῦ τόπου,
καὶ τοῦτο πολλῇ συστολῇ καὶ δειλίᾳ,
ἔμεινεν ἔνδον ἀστεγοῦς τινὸς δόμου·
ἔφαγεν οὐδὲν ἢ στεναγμοὺς καὶ πόνους,
ἔπιεν οὐδὲν ἢ τὸ δακρύων πόμα·
τὸν γὰρ Χαρικλῆν καὶ τὰ τοῦ Χαρικλέος
ἀμφαγνοοῦσα, θρῆνον ἤνυε ξένον,
ἀναιρεθέντα προσδοκῶσα τεθνάναι·

quam ex casu mortuam esse credebant. Attamen evaserat ex casu salva; cumque per novem dies integros in vastis solitudinibus remansisset (nam incedere neutiquam valebat, membris ossibusque ex præcipiti casu pressis et contusis), herba tantum campestri vescens, tandem potuit pagum quemdam devenire, ubi suppetebat abunde quidquid est ad vitam necessarium. Hic agri pube erant variorum seminum læti; hic mulieres, viri, puerique sideribus pulchriores, et caupo adversus hospites non perfidus. Conspecto procul felici hoc loco, verita est ingredi sola. Tamen cum ultimos cursu tetigisset fines, et hoc plurimo non sine pudore metuque, morata est in quadam domo quæ tecto carebat. Nihil comedit aliud quam gemitus et dolores; nihil bibit aliud quam rorem lacrymarnm. Etenim orba Charicle, et Chariclis rerum nescia, gemitus ciebat immanes, rata e vivis fuisse sublatum:

« Illa ego ter infelix prima ab origine nas-
» cendi, illa ego miserrima, insanabilia pa-
» tior mala. Jaceo usque gemens doloreque
» contabescens. Adeo nigra fatalisque Parca
» me undique cinxit, nec unquam funesti
» abstinebit odii. At ille quo conspecto tristis
» recreabar nuper ab amoris cruciatibus,
» ille quem enixe cupiebam, Charicles jacet
» obscuris involutus mortis nubibus; jacet
» oculis nunquam meis aspiciendus, quem
» luce privavit infanda, sævaque, nigraque
» Parca, perpetui causa doloris, jaculo ip-
» sum Arabico perimens. Labia amabilia, a
» me basiata sæpius, devoravit ignis ardens,
» et ecce nigra facta sunt. Splendidos oculos
» tristissima nox operuit. Expansos per colla
» crines ater infecit tabus. Hei mihi mi-
» serrimæ perpetuisque Drosillæ suffusæ la-
» crymis ! Aufugi a patre quem me un-
» quam fugere non credidi; horrisonos vasti
» maris fluctus emensa fui; prædonum in-
» sidias evasi per editos montium ambi-
» tus fugiens. Hei mihi juvenem ob Chari-
» clem infelicissimæ ! servitutem servivi;
» violenter fui habita et aspere; collari
» vincta sum duri fabri opere;

» Ἀδ' ἐγὼ ἡ τρισάποτμος ἀπὸ σφετέροιο γενέθλου,
» ἄδ' ἐγὼ ἡ πολύδακρυς ἀναλθέα πήματα μίμνω.
» Κεῖμαι φθινύθουσα διαμπερὲς ἐγγοόωσα·
» ὡς γὰρ μοῖρα μέλαινα δυσώνυμος ἀμφεκύκλωσεν,
» οὐδ' ὀλοοῖο χόλοιο πεπαύσεται ἤματα πάντα.
» Αὐτὰρ ὃν ἡ δύστηνος σχὸν πάρος εἰσορόωσα
» ἐκ παθέων ἀνάπαυλαν ἐρωτοτόκου μελεδῶνος,
» ὃν ποθέεσκον ἄκριτα, Χαρικλῆς κεῖται ἀνάγκῃ
» ὀρφναίοις νεφέεσσιν ἐνειλυμένος θανάτοιο,
» κεῖται νεκρὸς ἄελπτος ἀπ' ὄμματος ἡμετέροιο
» τόν ῥα φάους ἀπέμερσε κακώνυμος, αἰὲν ἀτειρὴς
» Μοῖρα, μέλαινα, φέραλγος, ἀπ' ἔγχεος Ἀραβίοιο.
» Χείλεα ἱμερόεντα, τὰ πολλάκις ἐξεφίλησα,
» πῦρ μαλερὸν κατέμαρψε καὶ αἰθαλόεντα φαάνθη.
» Ὄμματα παμφανόωντα ἀείδακρυς ὄρφνα κάλυψε.
» Βόστρυχον ἀμπετάοντα μέλαν λύθρον ἐξεμίηνεν.
» Ὤμοι ἐγὼ πανάποτμος, ἀεὶ μογέουσα Δροσίλλα!
» ἔτλην φύξιν ἄελπτον ἀπὸ σφετέροιο τοκῆος·
» μακρὸν δ' ἐξεμέτρησα βαρύβρομον οἶδμα θαλάσσης·
» λῃστὰς ὑπεξέφυγον ἀν' οὔρεα μακρὰ βιβῶσα·
» αἴ! αἴ! δακρυόεσσα, Χαρικλέος εἵνεκα κούρου,
» δούλιον ἦμαρ ὄπωπα· βίῃ δέ τοι ἐστυφελίχθην·
» κλοιός μ' ἀμφεδάμαζε πυραγροφόροιο μέλημα·

» οὔρεϊ ὑψικορύμβῳ ἁμαξόθεν ἔπεσον αὖθις,
» οἴδματι δ' ἀμφεπέλασσα καὶ εἰναλίῃσι πέτρῃσι
» βένθεος ἀτρυγέτοιο καὶ ἀργαλέῃ στροφάρυγγι·
» φλοιός μ' ἐξεσώωσεν ἀπὸ δρυὸς ὅς κεν ἐτύχθη.
» Ὤμοι ἐγὼ βαρύδακρυς εἵνεκα σεῖο, Χαρίκλεις!
» ὃν πάρος εἰσορόωσα διήνυον ὄλβιον ἦμαρ,
» νυνὶ δὲ κρυπτομένοιο πολὺν χρόνον ἄλγεα πάσχω,
» ἥλιον οὐχ ἐθέλουσα σελασφόρον ἀστέρα λεύσσειν. »
Τοιαῦτα δακρύουσαν ἐκ ψυχῆς μέσης
μαθοῦσά τις γραῦς, ἀγαθὴ τὴν καρδίαν,
ἤγγισεν, εὗρεν, εἶδεν, ἔστη πλησίον,
ᾤμωξεν, ἠσπάσατο καὶ προσεπλάκη,
ἤγαγεν ἔνδον τῆς ἑαυτῆς οἰκίας,
καὶ συμμετασχεῖν τῆς τροφῆς κατηξίου.
Ἔφαγε μικρὸν καὶ πρὸς ὕπνον ἐτράπη
(νυκτὸς γὰρ ἤδη τὸ σκότος κατεκράτει),
καὶ συγκλιθεῖσα τῇ χαμαιστρώτῳ κλίνῃ
εἶδε γλυκὺν ὄνειρον· ἦλθεν εἰς κόρον
ὕπνου λυσαλγοῦς, παυσολύπου φαρμάκου·
τὸ φῶς ὑπέστη, καὶ διέστη τὸ σκότος·
ἤγερτο, καὶ « Γραῦ, » φησὶ « μῆτερ ὀλβία,
» ὡς εὐχαριστῶ τῶν φιλοξενημάτων
« καὶ τῆς χαμαιστρώτου δὲ ταυτησὶ κλίνης,

» sublimem superans clivum de curru ceci- » di, et exceperunt me fluctus, saxaque » marina, terribilesque æquoris infructuosi » vortices; cortex e quercu forte delapsus » me servavit. Hei mihi infortunatissimæ ob » te, Charicles, quem nuper aspiciens fe- » licem degebam vitam! at nunc, te amisso, » diutina perpetior mala, solemque hunc, » splendidissimum astrum, nolo intueri am- » plius. » Tales imo e pectore gemitus fun- dentem audiit quædam anus, animi tenera; et accedens, ut vidit, ut ploravit, ut amplexata adhæsit! Statimque ad suam do- mum perduxit, cibosque obtulit benigne. Drosillæ, cum modice comedisset, somnus obrepsit (etenim jam noctis umbræ terras involvebant); et humili lectulo incubans dulci recreata est insomnio. Jamque ipsam somni quo fuerant levatæ curæ satias cepe- rat, luxque oriens fugaverat tenebras; sur- rexit, et « O anus, » ait « mater optima, » quantum tibi me debere profiteor pro tam » benigno hospitio, istoque humili tuo lec- » tulo,

» in quo dulce me invisit somnium, mœstæ » solatium mentis! Sed docesis, quæso, » num hic habitet bonus quidam caupo » Xenocrates. » — « Næ! » Anus refert. « Quid vero tibi cum illo? » Cui Drosilla: « Mecum rogo huc venias. Volo enim fieri » certior an me insomnii luserit error. » Annuit anus, et puellam perduxit ad Xenocratis domum. Tum stans prope januam, nam hic manere voluit puella, ad se nutu manus Callidemum vocat, Xenocratis filium. Qui factus propior virginem ilico interrogat; « Quis es et unde? patria quæ tibi, quæ ci- » vitas? » Nam simul ac eam vidit, obstupuit tantæ qua pollebat formositatis admiratione. Drosilla respondit ocyus: « Ne sit tibi » cura mei, Callideme. Dic tantum mihi, » num intus ædium habitet juvenis quidam, » gente exterus, Charicles nomine, nec vul- » gari forma. »

» καθ' ἣν γλυκὺς ὄνειρος ἀντεπῆλθέ μοι
» παρηγορῶν μου τὴν παθοῦσαν καρδίαν!
» Ἀλλ' ἀντιφάσκοις εἴ τις ἐςὶν ἐνθάδε
» ἀνὴρ ἀγαθὸς πανδοχεὺς Ξενοκράτης. »
« Ναί » φησὶν ἡ γραῦς. » Τίς δέ σοι τούτου λόγος; »
» Ἕως ἐκεῖσε, λιπαρῶ, σύνελθέ μοι »
ἔφη Δροσίλλα. » Κατιδεῖν καὶ γὰρ θέλω,
« εἰ μὴ φανεὶς ὄνειρος ἠπάτησέ με. »
Ὕπειξεν ἡ γραῦς, καὶ, λαβοῦσα τὴν κόρην,
εἰς οἰκίαν ἤγαγε τὴν Ξενοκράτους.
Πρὸ τῶν θυρῶν δὲ ςᾶσα τῶν τῆς οἰκίας,
ἐκεῖ θελούσης καρτερεῖν τῆς παρθένου,
καλεῖ παρ' αὐτὴν Καλλίδημον ἡκέναι,
τὸν φῦντα παῖδα πατρὸς ἐκ Ξενοκράτους,
τῆς χειρὸς ἑλκύσασα νεύσει τὸν νέον·
ὁ δ' ἀνταπελθὼν ἐξερευνᾷ τὴν κόρην·
« Τίς καὶ πόθεν σύ; καὶ πατρὶς τίς καὶ πόλις; »
Ὁμοῦ γὰρ αὐτὴν εἶδε καὶ κατεπλάγη,
τὴν καλλονὴν ἣν εἶχεν ἐκπεπληγμένος.
Ἡ δὲ Δροσίλλα θᾶττον ἀνταπεκρίθη·
» Ἔα με, Καλλίδημε· τοῦτό μοι λέγε,
» εἴπερ τις ἔνδον ἐκ ξένης νεανίας,
» κλῆσιν Χαρικλῆς, εὐγενὴς τὴν ἰδέαν. »

Ὁ δ' ἀλλ' ἐρασθεὶς καλλονῆς ἀσυγκρίτου ;
καὶ πρὸς Χαρικλῆν ἐγκοτήσας τῆς κόρης,
κόπους παρέσχε τῇ Δροσίλλῃ μυρίους,
καὶ μηδὲ κλῆσιν ἀντέφασκεν εἰδέναι,
εἴπερ τίς ἐςι καὶ Χαρικλῆς ἐν βίῳ.
« Τί δ' ἀλλὰ, Καλλίδημε, μὴ ξιφιδίῳ
» πλήττων ἀναιρεῖς ; Τί θαλάσσῃ μὴ δίδως ;
» Τί μὴ φονεύεις, αὐτόχειρ δεδειγμένος ; »
μετὰ ςεναγμῶν ἀντέφη καὶ δακρύων.
« Ὢς νῦν με πικροῖς δεξιούμενος λόγοις
» τὴν τῆξιν οἴμοι ! προξενεῖς οὐ μετρίαν. »
« Εἰ καὶ Χαρικλῆν προσαπώλεσας, Κόρη,
» μὴ κάμνε, μὴ ςύγναζε, μὴ κατηφία · »
πρὸς τὴν Δροσίλλαν Καλλίδημος ἀντέφη ·
« μὴ τοῦ βιῶναι τὸν θάνατον προκρίνῃς.
» Πολλοὶ παρ' ἡμῖν κρείττονες Χαρικλέος,
» ζῆλον τιθέντες ταῖς ἐρώσαις παρθένοις. »
Οὕτω μὲν οὖν ἐκεῖνος · ἡ δὲ παρθένος
Δροσίλλα μικρὰ μειδιάσασα λέγει
(εἴωθε καὶ γὰρ, κἂν κατάσχετος πόνοις
Ὀφθῇ τις, ἄφνω μειδιᾶν τι πολλάκις,
ὡσὰν παρούσης χαρμονῆς καὶ δακρύων) ·
« Συμπατριωτῶν ἀςικῶν καλῶν νεῶν

At ille amore captus tam eximiæ pulchritudinis, Chariclique propter puellam iratus, Drosillæ magnos creavit labores, dixitque se ne nomen quidem hujus unquam audivisse, nescireque num sit in rerum natura Charicles quidam. « Ecquid, Callideme, me » gladio feriens non perimis? Cur non me » mittis in mare? Cur me infensa non jugulat » dextera? » exclamavit puella gemebunda ploransque. « Nam me amaris excipiens ser» monibus hisce, dolorem heu! non medio» crem animo intulisti. » Cui Callidemus: « Amisso licet Chariclę, ne doleas, gemasve » puèlla; ne sis mœstior; ne vitæ mortem ante» ponas. Multi enim apud nos viri sunt Cha» ricle præstantiores, quosque æmulo non » sine livore amant virgines. » Hæc ille. Tum subridens (nam solet vel miser subito diffundi risu, mixtis veluti risu et lacrymis) virgo respondit : « Qui, natę Xenocrate, » Callideme, pulchris qui meam incolunt » urbem juvenibus

» juvenes rustici possint esse pulchriores?
» Dolet caput, Callideme, et nunc diutius
» tecum confabulari nequeo. » Interim
Charicles, nullidum notus, in Xenocratis
domo levem dormiebat dormitionem, lassitudine oppressus nimia et dolore curisque.
Drosilla autem suspirans sedebat procul a
Xenocratis domo, hasque inter gemitus fundebat voces : « O nate Jove, quæ me adhuc
» duces miseram in loca, ubi possim inve-
» nire Chariclem? Non est enim apud Xe-
» nocratem. An me insomniorum visu ludi-
» ficas? Satius fuisset ferre te opem miseræ,
» meque a malis gravibusque ærumnis libe-
» rare, et ad ea ducere quæ mihi prodesse
» possent; non vero infortunia cumulare in-
» fortuniis, mendaci delludentem me per
» somnos imagine. At si deus es, Jovisque
» Dei filius, doce me iterum an adhuc su-
» persit Charicles. Hesterna enim vespera
» adstans cubanti, et ipsum vivere signifi-
» casti, et ab ipso Chago

» πῶς ἄρα, Καλλίδημε, παῖ Ξενοκράτους,
» χωρητικοὶ γένοιντο κρείττονες ξένοι;
» Ἀλγῶ κεφαλὴν, Καλλίδημε, καὶ πλέον,
» τὸ νῦν ἔχον, σοὶ προσλαλεῖν οὐκ ἰσχύω.»
Ὁ γοῦν Χαρικλῆς ἔνδον ἐς Ξενοκράτους
ὕπνωττε μικρὸν ὕπνον οὐκ ἐγνωσμένος,
κόπῳ βαρυνθεὶς καὶ πόνοις καὶ φροντίσιν.
Ἡ δὲ Δροσίλλα, λεπτον ἀσθμαίνουσά τι
καθῆϛο μακρὰν οἰκίας Ξενοκράτους,
« Ὦ παῖ Διὸς, » λέγουσα καὶ γοωμένη,
» ποῦ δή με τὴν τάλαιναν ἄξεις εἰσέτι
» εὑρεῖν Χαρικλῆν; οὐ γὰρ ἐς Ξενοκράτους·
» ἢ φασμάτων παίζεις με πάντως ἐμφάσει;
» Ἐχρῆν ἐπαρήγειν σε δυσφορουμένῃ·
» ἐχρῆν ἀπαλλάσσειν με δυσπραγημάτων
» καὶ τῶν ἐπαχθῶν καὶ μακρῶν ϛεναγμάτων·
» ἐχρῆν ὁδηγεῖν πρὸς τὰ συμφέροντά με,
» οὐ μὴν ἀνάγκας ταῖς ἀνάγκαις εἰσφέρειν,
» ψευδηγοροῦντα τῇ καθ' ὕπνους ἐμφάσει.
» Ἀλλ' εἰ θεὸς σὺ καὶ θεοῦ Διὸς γόνος,
» εἰ ζῇ Χαρικλῆς αὖθις ἐκδίδασκέ με·
» καὶ γὰρ παραϛὰς τῇ πρὸ ταύτης ἑσπέρᾳ,
» καὶ ζῆν ἐδήλους, καὶ πρὸς αὐτοῦ τοῦ Χάγου

» ἠλευθερῶσθαι σὺν Κλεάνδρῳ τῷ ξένῳ,
» καὶ δεξιοῦσθαι πανδοχεῖ Ξενοκράτει.
» Πρόφασμα γοῦν σὸν οὐκ ἀληθὲς εὑρέθη.
» Καὶ νῦν, ἐπειδὴ μὴ Χαρικλῆς ἐνθάδε,
» οὐδ' ἔςι μοι ζῶν, οὐδ' ἐλεύθερος μένει·
» ἀλλ' ἢ προεξῴχηκε τοῦ βίου ξίφει,
» ἢ δεσμὰ τὸν τράχηλον αὐτοῦ συνθλίβει,
» καὶ ζῇ πονηρὸν καὶ πανοίκτιςον βίον. »
Ταύτης ἐπιςὰς Καλλίδημος ἐγγύθεν
ἐπηκροᾶτο τῶν κατωδύνων λόγων,
καὶ μὴ κατασχεῖν οἷος ὢν, οὕτως λέγει·
« Τὸ κάλλος ἡμᾶς ἐξελέγχει σου, κόρη,
» ἁλόντας οἷς ἔφημεν ἔῤῥειν ἀθρόως.
» Ἀλλ' ὁ τρισανόητος αὐτὸς ᾠόμην
» σαθροῖς λογισμοῖς ἄσχετος κάλλει μένειν,
» ὁμιλιῶν ἄγευςος, ἀτριβὴς πόθου·
» διέπτυον δὲ τῶν ἐρώντων τοὺς πονους·
» καὶ τοὺς γάμους σφῶν ὡς ἀπέςεργον· τάλας!
» Νῦν δ' ἀλλὰ δοῦλος ἄθλιος κατεσχέθην,
» ὁλοσχερῶς Ἔρωτι θητεύων βίᾳ·
» ἄνθος δὲ τὸ πρὶν τὴν παρειὰν φυγγάνει·
» τοῦ βλέμματος δὲ σβέννυταί μοι τὸ φέγγος
» ἐκ δακρύων ῥύακος ὡς ἐξ ὑδάτων.

» cum Cleandro amico libertatem rece-
» pisse, nuncque esse cauponis Xenocratis
» exceptum hospitio. Primum ergo oraculum
» mendax fuit repertum. Atque nunc, quo-
» niam hinc Charicles abest, non est in
» vivis adhuc; non est liber: at vitam gla-
» dio perdidit, aut vincula ipsius collum
» premunt, vitamque degit infelicem et mi-
» serandam. » At ipsi propius adstans Cal-
lidemus tristia exaudivit verba, nec jam sui
compos, in talia prorumpit : « Eximia hæc
» facies tua captum me, puella, fateri cogit
» illis illecebris quibus valere fortis dixeram.
» Ah! me dementem, qui, debili fretus ra-
» tionis auxilio, pulchritudinis vim effugere
» me posse rebar! A cœtibus abstinens, et cu-
» pidine vacuus, respuebam amantium labo-
» res; illorumque hymenæos quantum ode-
» ram, miser! At ecce jam non felix fio ser-
» vus, totus invitusque Amoris mancipium;
» pristinus flos genarum evanuit; extincta
» est oculorum flamma lacrymarum rivo,
» velut aquis inundantibus.

» Jamque impotens tam grave ferre malum,
» Homericam incuso Calliopen, quæ dixit
» omnium quæ sunt in natura rerum quam-
» dam esse satietatem, nec non voluptatum,
» quæ tamen, puto, satietate carent. Fasti-
» dium, ut mihi quidem videtur, non parit
» Amor, vel si robustum plenumque potiar
» gaudium, vel si narretur tantum. Ultimam
» igitur, ut in veteri est proverbio, ancho-
» ram in tanto periculo jaciam, et alteram
» instituam navigationem (quid enim de me
» fiet?), teque mulierum dilectissimam
» alloquar : silentium quippe novi morbo
» esse alimentum. Quæ omnes sortita es for-
» mæ illecebras, et omnes vulneras pectoris
» partes, labia tibi sunt rosis molliora, os-
» que favis dulcius. At oscula tua, ut apis
» stimulus, amara, letifera, venenantia,
» pungentia. Quam est veneno refertum os
» tuum, etsi foris sit melle circumlitum;
» cujus osculum imaginatus, heu! ingens
» contra experior malum. Dolet mihi pectus;
» cor subsilit; mens et corpus turbantur.

» Οὕτως ἐγὼ τὸ πάθος οὐκ ἔχω φέρειν·
» καὶ τὴν Ὁμήρου μέμφομαι Καλλιόπην
» εἰποῦσαν εἶναι κοσμικῶν πάντων κόρον,
» καὶ φιλοτήτων, ἀκορέςων, ὡς κρίνω·
» οὐ πλησμονὴν ἔοικεν εἰσφέρειν ἔρως,
» κἂν ἡδονὴ τελοῖτο, κἂν κλύοιτό μοι.
» Ῥίψω τὸ λοιπὸν, ὡς ὁ γηράσας λόγος,
» ἐν κινδύνοις ἄγκυραν αὖθις ἐσχάτην,
» καὶ δεύτερον πλοῦν πλεύσομαι (τί γὰρ πάθω;)
» καί σοι προσείπω τῇ τὸ πᾶν φιλουμένῃ
» (τροφὴν γὰρ οἶδα τὴν σιωπὴν τῆς νόσου).
» Ὦ πᾶσαν εὐτυχοῦσα καλλονῆς χάριν
» καὶ πᾶν ἀκοντίζουσα καρδίας μέρος,
» χεῖλος μὲν αὐχεῖς ἁπαλώτερον ῥόδου,
» γλυκύτερον δὲ κηρίου σοι τὸ ςόμα·
» φίλημα γοῦν σὸν, ὡς μελίττης κεντρίον,
» πικρὸν, θανατοῦν, φαρμακεῦον, ἀλγῦνον.
» Ὡς φαρμάκων σοι πλῆρές ἐςι τὸ ςόμα,
» κἂν ἐκτὸς ᾖ μέλιτι συγκεχρωσμένον!
» οὗ καὶ φίλημα τῇ δοκήσει κερδάνας,
» αἴ! αἴ! περιττὸν ἄχθος ἀντιλαμβάνω.
» Τὸ ςέρνον ἀλγῶ· πάλλομαι τὴν καρδίαν·
» ἀνατραπεὶς ἔοικα σῶμα καὶ φρένας.

» Οὐκ ἐκφύγῃ τις, κἂν δοκῇ πεφευγέναι,
» Ἔρωτα τὸν τύραννον ὁπλοτοξότην,
» ἄχρις ἂν ἐν γῇ φῶς τε καὶ κάλλος μένῃ,
» καὶ τῶν βροτῶν τὸ ὄμμα πρὸς τοῦτο βλέπῃ.
» Ἔρως γὰρ αὐτὸς, ὁ θρασὺς, ὁ τοξότης,
» καλὸς θεός τις μυθοπλαστεῖται νέος,
» καὶ τόξα πλουτεῖ καὶ φαρέτραν εἰσφέρει·
» χαίρει τὰ πολλὰ τοιγαροῦν καὶ τοῖς νέοις,
» ὅπου δὲ κάλλος, ἐκδιώκων προφθάνει,
» ἀναπτεροῖ τε καὶ φρένας καὶ καρδίαν·
» οὗ φάρμακόν τις εὗρεν οὐδεὶς ἐν βίῳ,
» εἰ μὴ περιπλοκήν τε καὶ πρᾶξιν γάμου.
» Θεὸν βαρύν σε θᾶττον ἐγνώκειν, Ἔρως,
» εὗρον δρυμῶνος θρέμμα, θηρίου γόνον.
» Ὡς ἄγριος σὺ, προσχαρὴς δοκῶν μάτην!
» Ἄκουε λοιπὸν, καὶ διδάσκου, καὶ σύνες,
» ἡ νῦν παρ' ἡμῶν μαργαρόστερνος κόρη,
» φῦσει λαχοῦσα χρυσοβόστρυχον κόμην;
» τὸ κῦμα, τὸν κλύδωνα, τὴν ζάλην ὅση.
» Λαβεῖν σε πρὸς νοῦν ἱκετεύω τοὺς πάλαι
» ἔρωτι συγκραθέντας εἰς ψυχὴν μίαν·
» συνεννόει μοι τοῖς προλοίποις τῶν πάλαι
» τὸν Ἀρσάκης ἔρωτα πρὸς Θεαγένην,

» Nemo effugiet, quamvis se putet effugisse,
» Amorem tyrannum sagittiferum; quamdiu
» in terris erunt lux et pulchritudo, et in
» hanc vertentur hominum oculi. Audax
» enim Amor, sagittifer Amor, non imme-
» rito juvenis fingitur esse deus, arcu ins-
» tructus et pharetra; idcirco plerumque
» cum juvenibus versari gaudet, et ubi est
» pulchritudo, ibi statim, insequens illam,
» advolat, et mentem animumque alis quasi
» sublimes erigit; nihilque remedii ab ullo
» hominum fuit repertum unquam, nisi am-
» plexus et connubii ritus. Amor, statim in-
» tellexi te deum esse crudelem; sensi te
» nemorum esse incrementum, et belluæ
» partum. Quam ferus es! quam mendaci
» subridens ore! Ausculta igitur, et disce,
» atque animo percipe, puella, nova inter
» nos civis, sinu ut uniones candidi candido,
» capillulis lucentibus ut aurum nitidum,
» qui sint amoris fluctus, quanta tempestas
» quantæque procellæ. Memineris, precor,
» illorum quos amor pristinum per ævum
» unanimi vinxit animi consortio; et, præter
» antiquos illos heroas, recordare quanto
» Arsace Theagenem,

» Archemanes Charicleam amore deperie-
» rint. Quos si ut impuriores respuis, illos
» cerne qui castis flagraverunt ignibus, quos
» sacramenti fides, licito sistens tramite, a
» turpibus deterruit actis, et ad tutam le-
» gitimi societatem hymenæi sancte perduxit.
» Neutiquam est ebrietati dissimilis amor;
» at mihi Drosilla loco sit amethysti la-
» pidis : vastum parit incendium amor;
» at te quasi pantarben mihi habeo lapidem
» Indicum, et me vitabit ipsa incendii flam-
» ma te ferentem. Dolor qui tam vaste mea
» per viscera serpit, et mentem et oculos
» ad se trahit, puella; sed et me et illos
» tua retro trahit pulchritudo. Te visa, jam
» sapere non valeo; et magis aveo te non
» videre, ne forte crescant cupidinis ignes,
» ex adspectu tuo capientes sibi nutrimen-
» tum : adeo inevitabilia desiderii retia ex
» oculis aptasti quibus sum impeditus! Dis-
» simulationis os tuum blandæ plenum est;
» et manus torpet languidior ad opem mise-
» ro ferendam dira circumretito sagena.

» τὸν Ἀρχεμάνους πρὸς Χαρίκλειαν πόθον·
» κἂν, ὡς ἀσέμνους, οὐ λαβεῖν εἰς νοῦν θέλῃς,
» τοὺς εἰς ἔρωτας σωφρονήσαντας σκόπει,
» οὓς ὅρκος αὐτὸς ὢς προβαίνων ὡς δέον
» ἀπεῖργεν αἰσχροῦ, καὶ προῆγεν ἐνδίκως
» εἰς ἀσφαλῆ σύζευξιν ἐννόμου γάμου.
» Οὐδὲν διοίσειν οἶδε πρὸς μέθην ἔρως·
» πλὴν λίθος ἀμέθυσος ἡ Δροσίλλα μοι.
» Πρηστήριον πῦρ οἶδεν ἐντίκτειν ἔρως·
» ἀλλ' Ἰνδικὴν λίθον σε παντάρβην ἔχω,
» καὶ φεύξεταί με καὶ τὸ πῦρ φέροντά σε.
» Πόνος μὲν ὁ τρύχων με πρὸς τόσον πλάτος
» ὀφθαλμὸν αὐτὸν συγκαθέλκει μοι, κόρη·
» ὄψις δὲ τῶν σῶν ἀντανέλκει χαρίτων.
» Οὐκ εὐσθενές μοι σωφρονεῖν βλέποντά σε,
» καὶ συγκινοῦμαι μᾶλλον εἰς τὸ μὴ βλέπειν,
» ὡς μήποτε φλὸξ αὐξάνηται τοῦ πόθου
» ὅλην ἔχουσα καὶ τροφὴν καὶ τὴν θέαν·
» οὕτως ἄφυκτον τὴν σαγήνην τοῦ πόθου
» ἐξ ὀμμάτων σῶν ἔσχες εἰς ἐμὴν ἄγραν!
» Ἀκκίσματος σοῦ πλῆρες αὐτὸ τὸ στόμα,
» ἡ χεὶρ δὲ ναρκᾷ πρὸς τὸ σῶσαι συντόμως
» τὸν ἁρπαγέντα τῇ σαγήνῃ τῇ ξένῃ.

» οὕτω τυραννεῖς ὃν κρεμώμενον λάβῃς,
» οὔτε πρὸς αὐτὴν γῆν ἐνεχθῆναι θέλεις,
» οὔτε προσαρπαγέντα σώζεις αὐτίκα!
» Ποίαν σοφίαν συγκινήσω, καὶ πόθεν
» ἐρωτικὰς ἴϋγγας εὑρήσω, τάλας!
» ὡς ἄν σε πείσω καὶ παθεῖν ἀναγκάσω
» ἱκτηρίοις ἴϋγξι καρδιοστρόφοις;
» Γυνὴ γὰρ εἶ σύ (γνῶθι τὴν σαυτῆς φύσιν),
» γυνὴ δὲ πασῶν τῶν γυναικῶν καλλίων,
» ὡς ἡ σελήνη τῶν προλοίπων ἀστέρων.
» Δίδου τὸ πᾶν· μὴ βάλλε τοῖς λόγοις μόνοις.
» Ἑλκουσα δῆθεν εὐμένειαν μετρίαν,
» ἐμοὶ προεῖπας ὡς παρηνοχλημένη
» ἀλγεῖς κεφαλὴν τὴν ἐμοὶ φιλουμένην·
» καὶ καινὸν οὐδὲν, ὦ Δροσίλλα παρθένε.
» Ἐλθοῦσα καὶ γὰρ εἰς ἄγνωστον χωρίον,
» δήμῳ τε πολλῶν ἐμφανισθεῖσα ξένων,
» ἐπεσπάσω βάσκανον ὀφθαλμὸν τάχα·
» καὶ σήμερόν σε τὴν ἐμὴν νόσον θέλω
» ἀπαλλαγῆναι τῆς ἐνοχλούσης νόσου·
» ἀλλ' ἡ νόσος μοι, ναὶ, πρὸς ὑγείαν δράμοι,
» ὡς μὴ καχεκτοίημεν ἄμφω δοσφόρως.
» Δάφνις ὁ παῖς ἐκεῖνος ἀλλὰ καὶ Χλόη

» Adeo crucias quem cepisti tenesque sus-
» pensum, nec in litus exponere nec raptum
» vis servare protinus! Quibus utar artibus,
» quæ amatoria, miser! inveniam incanta-
» menta, tuum ut moveam pectus, et amare
» vicissim dulcibus cogam precum illecebris,
» quæ mutant animos? Mulier enim es; at
» qualis nosce: mulier inter omnes forma
» præstans mulieres, velut inter ignes luna
» minores. Nihil non da mihi; ne verbis vul-
» neres me tantum. Non sine quadam beni-
» gnitatis significatione, mihi modo dixisti
» te varias ob molestias dolere caput, caput
» istud carissimum: nec mirum, Drosilla.
» Nam ignotum ingressa pagum, et a copioso
» visa exteroque populo, fascinantem forte
» in te traxisti ocellum; et opto te, quæ
» meus es morbus, molesto hodie liberari
» morbo. Sed et meus morbus ad sanitatem
» vertat, ne simul ambo misere ægrotemus.
» Daphnis puer ille, et Chloe

» felici juncti sunt alter alteri hymenæo;
» suavis ille Daphnis, pastor tantum, nec
» Amoris expers sagittarum, amatus qui-
» dem, sed et ipse ardentius redamans,
» nihilque amplius rerum amatoriarum
» sciens, quam illud ipsum amare. Cunis
» ex ipsis Chloæ virgini socius pascendi pe-
» coris fuerat datus, puer ad amorem pro-
» clivior. Amabat dudum pulchram Chloen,
» virginem simplicissimam, cujus oculi ju-
» veni ignis erant; sermones, arcus; am-
» plexus, jacula. Aureum fuit in amando
» pristinum genus; qui enim amabatur,
» amabat ipse magis. Quam dispar æreum
» hoc sæculum! nam qui amatur, amare
» ipse negat. Ah! quid hoc rei est, vexari
» nos cruciarique a puellis quæ nos amant,
» mutuo pectus sauciæ philtro? Nonne et
» nos ipsos, virgo, suo prævertunt amore?
» Amant, sed plenæ sunt dissimulationis;
» diligunt, sed vexant quos diligunt; sus-
» pensam tenent eorum mentem; ante tem-
» pus heu! corpusculum enecant;

» τρισευτυχῶς συνῆψαν αὐτοὺς εἰς γάμον·
» Δάφνις ἐκεῖνος ὁ γλυκὺς, ποιμὴν μόνος,
» οὐ τῶν ἔρωτος ἀδαὴς τοξευμάτων,
» φιλούμενος μὲν, ἀντιφιλῶν δὲ πλέον,
» καὶ μηδὲν εἰδὼς τῶν ἐρώτων τι πλέον.
» Τῇ παρθένῳ Χλόῃ γὰρ ἐκ τῶν σπαργάνων
» ἐρωτικὸν συνῆπτο συμποίμην βρέφος.
» Ταύτης ἐρῶν ἦν τῆς καλῆς Χλόης πάλαι,
» Χλόης ἐκείνης τῆς ἀπλάςου παρθένου,
» ἧς πῦρ μὲν ἦν τὸ βλέμμα τῷ νεανίᾳ,
» λόγοι δὲ τόξα, καὶ περιπλοκαὶ βέλη.
» Χρυσοῦν γένος πρὸς φίλτρον ἦν τὸ προφθάσαν·
» ὁ γὰρ φιληθεὶς ἀντεφίλει μειζόνως·
» οὐχ οἷόν ἐςι τοῦτο χάλκεον γένος·
» φιλούμενον γὰρ ἀντιφιλεῖν οὐ θέλει.
» Ω τίς λόγος, τί πρᾶγμα, καὶ τίς ἡ φύσις,
» ἡμᾶς τυραννεῖν τὰς ἐρώσας παρθένους
» βληθείσας ἀντέρωτι δακνοκαρδίῳ!
» ἢ γὰρ πρὸ ἡμῶν οὐκ ἐρῶσι, παρθένε;
» ἐρῶσι, πλὴν γέμουσι τῶν ἀκκισμάτων·
» φιλοῦσι, πλὴν τρύχουσι τοὺς φιλουμένους,
» ποιοῦσιν αὐτοῖς ἐκκρεμῆ τὴν καρδίαν,
» τήκουσιν αἲ! αἲ! προ χρόνου τὸ σαρκίον,

» αὐτὴν οἰστεύουσι τὴν ψυχὴν μέσην·
» ὡς ἀγχόνη τὸ πρᾶγμα καὶ πέρας βίου
» ἔρωτος εἰς τὸ πρᾶγμα δυσφορουμένοις.
» Βαβαί! πόσος παρῆλθε καιρὸς ἐν μέσῳ!
» καὶ τὴν σιδηρᾶν οὐκ ἔπεισα καρδίαν.
» Πῶς πολλαχοῦ προῆλθον! ἀλλ' ἡ παρθένος
» ἡ σκληροπετρόστερνος οὐκ ἔνευσέ μοι.
» Ἀπόλλυμαι δείλαιος, οἴχομαι τάλας,
» εἰ μηδὲ ταῦτα σὴν μαλάξει καρδίαν·
» Ἡροῦς ἐρῶν Λέανδρος ὁ τλήμων πάλαι

. . . .

» ἐρῶν ἐκείνης τῆς Γαλατείας Κύκλωψ
» προεῖλκεν εὐπειθοῦσαν αὐτὴν τὴν κόρην·
» τὸ λάσιον γὰρ ἐβδελλύττετο πλέον,
» στυγοῦσα τὸν φιλοῦντα· πλὴν ἔστεργέ μοι,
» μήλοις μόνοις βάλλουσα μικροῖς τὸν μέγαν·
» ὅμως ἐκεῖνος ἀντεπισχνεῖτο ξένως·
» ποθῶν γὰρ αὐτὴν, εἰς τὸ πῦρ βάλλειν ἔφη
» καὶ χεῖρας αὐτοῦ, καὶ πόδας, καὶ κοιλίας,
» ὡς ἐκτεφρῶσαι τὴν λασιώδη τρίχα
» (ἀδύνατον δὲ καὶ μέσην τὴν καρδίαν),
» κἀκεῖνον, ὅνπερ εἶχεν εἰς τὸ φῶς ἕνα
» ὀφθαλμὸν εὐρὺν, κυκλοσύνθετον, μέγαν·

» ipsumque medium transadigunt pectus.
» Res vertit ad restim mortemque, iis qui
» sunt in amore non felices. Babæ! Quantum
» jam temporis effluxit, et ferream non
» emollivi mentem! Quam sæpe ad eam adii!
» Sed virgo saxea non adnuit. Infelix perii,
» perii miser, si nec ista tuum incurva-
» bunt animum : Leander olim infelix He-
» ronem ardens . . . .
. . . . Galateam hanc qui de-
» peribat Cyclops, facilem denique protra-
» xit puellam. Nimiam enim villositatem
» corporis aversabatur, amatorem detestata;
» attamen intus amabat, quippe quæ malis
» procerum parvulis petebat Cyclopem. At
» ille pollicitus est rem miram sane; amo-
» ris percitus œstro dixit se crematurum et
» brachia, cruraque ventremque, ut villo-
» rum adureret silvam (nam ipsum urere
» cor medium se nequaquam posse); et
» illum quo utebatur unico lucis ministro,
» oculum latum rotundum, magnum :

» adeo se amans amanti submittebat. Roga-
» bat Galateam Cyclops ut in antrum ve-
» niret, ubi nutrire se dicebat parvos hinnu-
» los, lascivosque vitulos, agnos, pecudes
» alias, canesque multas silvaticas, lupici-
» das; ubi dulces habere se dicebat vites,
» et caseum hiberno æstivoque tempore, et
» mulctras lacte diffluentes, et apum exa-
» mina plusquam sexaginta, et pocula arti-
» ficiose cælata, silvestriumque caprarum
» pelles innumeras. Talibus demulcebat Ga-
» lateam dictis Cyclops, mellita verba ca-
» nens, adspectans pontum, pulchramque
» fistulam adplicans labiis. Talibus demul-
» cebat verbis, supplexque rogabat ut an-
» tri hospitium acciperet, vitæque marinæ
» longum valediceret. Tu vero nec annuis,
» nec verbo dignaris, nec ludenti vis con-
» ludere. Nec poma jacis, nec dulce rides,
» ut primum Nereïs; sed cum vix subrisisti,
» magnum te putas dedisse munus pro tot
» meis sermonum blandimentis.

» οὕτως ἐρῶν προεῖκεν· ἐξελιπάρει
» εἰς ἄντρον ἐλθεῖν τὴν Γαλατείαν Κύκλωψ,
» ὅπου νέους ἔφασκε νεβροὺς ἐκτρέφειν
» γαύρους τε μόσχους, ἄρνας, ἄλλας ἀγέλας,
» κύνας τε πολλὰς, ἀγρίας, λυκοκτόνους,
» καὶ γλυκερὰς ἔφασκεν ἀμπέλους ἔχειν,
» καὶ τυρὸν ἐν χειμῶνι καὶ καιρῷ θέρους,
» γαύλους τε τοῦ γάλακτος ἐκκεχυμένους,
» σμήνη μελιττῶν ὑπὲρ ἑξηκοντάδα,
» καὶ κισσύβια τεχνικῶς γεγλυμμένα.
» καὶ δορκάδων ἄμετρα δερμάτων σκύτη.
» Τούτοις ἔθελγε τὴν Γαλατείαν Κύκλωψ
» ᾄδων μελιχρὸν, τῇ θαλάσσῃ προσβλέπων,
» σύριγγα πρὸς τὸ χεῖλος εὔτεχνον φέρων·
» τούτοις ἔθελγε, καὶ προσεξελιπάρει
» ὡς ἀνθέλοιτο τὴν ἐς ἄντρον ἐστίαν,
» χαίρειν ἀφεῖσα τὸν θαλάττιον βίον.
» Συ δ' οὔτε νεύεις, οὔτε μηνύεις λόγον,
» ἀλλ' οὐδὲ προσπαίζοντι προσπαίζειν θέλεις.
» Οὐκ ἔστιν ἐν σοὶ μῆλον, οὐ γλυκὺς γέλως,
» ὁποῖα ἦν τὰ πρῶτα τῆς Νηρηΐδος·
» τὸ μειδίαμα προσδοκᾷς δέ τι μέγα
» χάρισμα πολλῶν ἀντιδιδόναι λόγων.

» Ὡς εὐχαριςῶ τοῦ χαρίσματος, κόρη!
» πένης κόραξ γάρ, ὡς ὁ δημώδης λόγος,
» οὔσης ἀνάγκης, συμποριζέτω τάλας
» κἂν ἐκ δυσόσμων τὴν τροφὴν ἐντοσθίων.
» Σύννευσον ἔνδον ἀμφὶ τὸν ζητοῦντά σε;
» ὄψει δὲ πάντως καὶ περιφήμου πλέον
» Κύκλωπος ὧδε Καλλίδημον ἐκ βίω.
» Ξενοκράτης πρώτιςος ἐν τῷ χωρίῳ·
» ὁ Καλλίδημος οὐκ ἄχαρις τὴν θέαν·
» τῶν εὐγενῶν εἷς ἐςὶ καὶ τῶν πλουσίων·
» ᾧ συζυγεῖσαν οὐ μετάμελος λάβῃ
» τὴν ἐν γυναιξὶ σὲ Δροσίλλαν κοσμίαν.
» Βούλει καθιςῶ δῆλα τῷ Ξενοκράτει·
» καὶ Καλλιδήμου καὶ Δροσίλλης τοὺς γάμους
« λαμπροῖς ἑορτάσειε παςοπηγίοις.
» Τί μειδιᾷς, νεύουσα πρὸς γῆν, ἡσύχως,
« ὦ γραῦς ἀγαθὴ, γραῦς σοφὴ, γραῦς κοσμία;
» μέτελθε καὶ σὺ τὴν ἀκαμπῆ παρθένον,
» καὶ Καλλιδήμου μισθὸν ἐκλαβῇ μέγαν. »
Τούτοις ἐνησμένιζεν ὁ Ξενοκράτους·
ἡ γραῦς δὲ μικρὰν ἐκκοπὴν ποιουμένη
τῆς Καλλιδήμου λαλιᾶς πρὸς τὴν κόρην,
» Εἰ καὶ Δροσίλλα μὴ πλανᾶται τῷ βλέπειν,

» Quam grato hoc animo munus accipio, » puella! Pauper enim corvus, ut est in pro- » verbio, magna pressus necessitate, sibi vic- » tum miser vel ex graveolentibus petit vis- » ceribus. Ingredere domum amantis qui te » quærit, videbisque Callidemum ipso illo » decantato Cyclope rebus instructum ma- » gis quæ vitam faciunt beatiorem. Xenocra- » tes hosce inter paganos est præcipuus; » Callidemi non est illepida facies, et unus » est e nobilium divitumque grege. Illi » nupsisse non pœnitebit te, Drosilla, quæ » es inter feminas eximia. Vis me rem ape- » rire Xenocrati? Callidemi et Drosillæ nup- » tias splendidis celebraret festis. Quid sub- » rides leniter, oculis ad terram depressis, » anicula probissima, scitula, ornatissima? » Oppugna mecum ferream virginem, et non » mediocrem a Callidemo mercedem acci- » pies. » Talibus se probare virgini tentabat Xenocratis filius. Tum anus parvam faciens longæ Callidemi sermocinationi pausam, « Si » Drosillæ » inquit « non errant oculi,

» nullum in orbe toto te pulchriorem ju-
» nem videbit. » At ille rursus directa ad puellam oratione : « Incredibili me, cum te
» video, afficis gaudio ; mœrore, cum vul-
» tum occultas. Pratum gratiis luxurians
» una quæ fores reperta fuisti ; sed undique
» quasi maceriis vallare te videris. Et nunc
» cupio te vendemiare, puella, velut fructus
» vitis arbori conjunctæ maritæ. Aperi igitur
» mihi portas hortuli, et sine me edere et
» satiari tandem. Quis mortalium humi rep-
» tantium, fabrilis peritus artis, sumto igne,
» novumque accendens Vulcanium caminum,
» cor tuum, arreptum forcipe, æreum con-
» flavit mediis impositum prunis ? Quis tin-
» xit, et in flammis aciem cordi tuo fecit du-
» rissimo ? O digitos male artifices ! O digito-
» rum malam artem et detestandam ! O dex-
» tram quæ mihi dolores conflavit, et pectus
» hoc et cor virginis ære fabricata est !
» Audax ille fuit,

ἔφασκε, « Καλλίδημε, παῖ Ξενοκράτους,
» οὐκ ἄλλον εἰς γῆν ὄψεται σου καλλίω. »
Ἀλλ' οὗτος ἀντέφασκε τῇ κόρῃ πάλιν·
« ὑπερβαλλόντως ἡδύνῃ ὁρωμένη,
» ἀνεκλαλήτως ἀλγύνεις κεκρυμμένη.
» Λειμὼν χαριτόβρυτος εὑρέθης μόνη·
» δοκεῖς δὲ θριγκοὺς πολλαχοῦ συνεισφέρειν.
» Καὶ νῦν ἱμερτὴ σὺ τρυγᾶσθαι μοι, κόρη,
» ὡς ἀκροπρέμνων ἀναδενδροκαρπίας·
» ἄνοιξον γοῦν μοι τὰς θύρας τοῦ κηπίου,
» καὶ δὸς φαγέσθαι καὶ κορεσθῆναι μόλις.
» Τίς οὖν ἐκεῖνος τῶν χαμαὶ κινουμένων
» χαλκευτικῆς ἔμπειρος, ὃς λαβὼν φλόγα,
» Ἡφαιστικὴν κάμινον ἐκκαύσας νέαν,
» καὶ τῇ πυράγρᾳ καρδίαν συναρπάσας,
» ἔδειξε χαλκὴν θεὶς μέσον τῶν ἀνθράκων;
» Τίς οὖν ὁ βάψας, ὁ στομώσας εἰς φλόγα
» τὴν καρδίαν σου τὴν ἀπεσκληρυμμένην;
» Ὦ τῶν ἐκείνων δακτύλων δυστεκτόνων!
» Φεῦ ἐργοχείρων ἀθλίων δυσδαιμόνων!
» Ὦ δεξιᾶς μοι τεκτονευσάσης βάρη,
» χαλκευσάσης τὰ στέρνα καὶ τὴν καρδίαν!
» Τολμηρὸς ἦν ἐκεῖνος, ὡς Κύκλωψ νέος,

» βαρὺς, βριαρὸς, αἱματωπὸς, παμφάγος,
» ὃς εἰς ἐμὴν δείλαιος ἀνθρώπων μόνος
» πολλὴν ὀδύνην ἐξεχαλκούργησέ σε.
» Τίς τὸν θανόντα ζῶντα δεικνύειν ἔχει;
» Τίς τὸν πιόντα κόνδυ δηλητηρίου
» ᾠδῆς μετασχεῖν φησὶ κηλητηρίου;
» Ορα νεκρὸν τὸν ζῶντα. Καὶ τί τὸ πλέον;
» οὕτως ἀπηνήνω με τὸν φιλοῦντά σε!
» Τῆς καρδίας σου τῆς λιθοςερεμνίου!
» Ἔρως, Ἔρως δείλαιε, πῦρ πνέων Ἔρως,
» ὡς ἄνθρακές με φεῦ! τὰ πικρά σου βέλη
» καίουσιν· αἴ! αἴ! μὴ τὸ τόξον πῦρ φέρει;
» Φέρει μὲν ὄντως. Ἀλλὰ τί δράσειν ἔχεις;
» οὐδ' Ἡρακλῆς πρὸς δύο, δημώδης λόγος·
» πρὸς τρεῖς δὲ σὺ Χάριτας ἁδροδακτύλους,
» οἷα βραχὺς παῖς, ἀντιπράττειν οὐκ ἔχων,
» ἐκεῖθεν ἔνθεν ἐκδραμὼν κατεσχέθης,
» καὶ, δοῦλος οἷα, τληπαθεῖς καὶ προσμένεις·
» κἂν καὶ πτερύσσῃ πανταχοῦ γῆς ἐκτρέχων,
» ὅπου τὸ κάλλος ἐκτελῶν ὑπουργίαν,
» αἱ Χάριτες τὸ τόξον ἐκτείνουσί σοι·
» τὸν σφῶν ἐκεῖναι δοῦλον ὁπλίζουσί σε,
» τὸν δραπέτην ἔχουσι πιςὸν οἰκέτην,

» gravis, robustus, sanguineis oculis fauci-
» busque edacissimis, qui, novus veluti Cy-
» clops, te unus in meum dolorem nimium
» ex ære informavit. Quis funus ostendere
» potest nefunus? Quis illum ad cantus in-
» vitare potest amœnos, qui poculum hau-
» sit letiferum? Vide mortuum qui vivit.
» Sed quid ex malis lucror? Adeo respuis
» me amantem tui! Oh! cor saxis durius!
» Amor, tristis Amor, Amor qui spiras
» ignem, ardentes veluti prunæ heu! amara
» tela adurunt me tua. Ha! ha! num arcus
» ignem mittit? utique mittit. Sed quid fa-
» cies? Nec ipse Hercules, ut est in prover-
» bio, adversus duos valet; et tu, ut pote
» parvulus puer, adversus tres Gratias vali-
» dis præditas manibus non habens qui re-
» sistas, hinc inde cursitans licet, prehensus
» es tamen, et, veluti servus, ingemis et
» manes; ac si per totum evolaveris or-
» bem, ubicumque adest pulchritudo,
» servili fungeris ministerio; et Gratiæ ar-
» cum tibi tendunt; te suum sibi servum
» armant; te, fugitivum quamvis, fidum sibi
» habent ministrum;

» et qui aufugeras jam te manentem cernunt.
» Quam es torvus sævusque, Amor, vel cum
» dulce rides! Video te inevitabilia conflan-
» tem vincula. Quam es furiosus, vel cum
» ludere velle videris! Tibi sunt manus us-
» que ad feriendum promtæ, ferisque im-
» misericorditer. Etenim nec parens a telis
» fuit immunis ipsa tuis. Rusticus conspecta
» Niobes lacrymantis imagine: Oh! qui ipsa,
» inquit, lacrymas manant marmora! Vivus
» vero lapis tuus, puella, ne pauxillum
» quidem nobis lugentibus tribuit miseri-
» cordiæ. Tibi fui scopus in quo dirigeres
» arcum, o virgo virginibus quæ rura inco-
» lunt longe præstantior. Si tuæ foret judi-
» cium pulchritudinis, Cypris non iterum
» potiretur præmio, quamvis sederet judex
» ille, flava Paris decorus coma et amore
» captus. Tenera das oscula; teneri sunt
» cincinnorum orbiculi; tenera membrorum
» compages; quid libet in te tenerum est,
» præter animum flecti nescium, et vere in-
» corporeum adamanta. Medius laboro Pa-
» phiam inter et Minervam: quis Tanta-
» leam ferre possit hanc sitim? Et nunc Jo-
» vem incuso,

» τὸν φυγάδα βλέπουσι προσμένοντά σε.
» Ὡς ἠγρίωσαι, κἂν γλυκὺ γελᾷς, Ἔρως!
» ἄφυκτα δεσμὰ συγκροτοῦντά σε βλέπω.
» Ὡς ἐξεμάνης, κἂν δοκῇς παίζειν θέλειν!
» Ἔχων δὲ χεῖρας εἰς τὸ βάλλειν εὐτόνους,
» πλήττεις ἀφειδῶς· οὐ γάρ ἡ τεκοῦσά σε
» τῆς σῆς διέδρα τοξικῆς τὰ κεντρία.
» Τὴν Νιόβην κλαίουσαν ἀγροῖκος βλέπων,
» Ὦ! πῶς ῥέει δάκρυον, εἶπε, καὶ λίθος!
» ἡμᾶς δὲ σὸς νῦν ἔμπνους ὁ λίθος, κόρη,
» οὐδὲ βραχὺ στένοντας οἰκτείρειν θέλει.
» Ὡς ἐν σκοπῷ μοι τόξον ὤφθης ἀθρόον,
» ὑπερφερὴς σὺ παρθένων ἐν χωρίοις.
» Τοῦ σοῦ δὲ κάλλους ἂν διέστηκε κρίσις,
» ἡ Κύπρις οὐκ ἔτυχε πρωτείου πάλιν
» κἂν ὁ κριτὴς ἐκεῖνος ἦν ὧδε κρίνων
» ἐρωτόληπτος ξανθοβόστρυχος Πάρις.
» Σοὶ μαλθακὸν φίλημα, πλέγμα βοστρύχων,
» ἡ τῶν μελῶν σου συμπλοκὴ, τὰ πάντά σοι·
» ψυχὴ δ' ἀπειθὴς καὶ νοητὸς ἀδάμας.
» Μέσον καμοῦμαι Παφίης καὶ Παλλάδος·
» τίς Ταντάλειον δίψος ἰσχύει φέρειν;
» Καὶ τοῦ Διὸς δὲ νῦν κατήγορος μένω

» ὡς ἀνεράςου, μὴ καταβεβλημένου
» πρὸς τὴν καθ' ἡμᾶς εὐπρεπεςέραν κόρην
» Λήδας, Δανάης, Γανυμήδους, Εὐρώπης.
» Σοὶ καὶ ῥυτὶς μολοῦσα τῷ χρόνῳ μόλις
» ἥβης ὁποῦ πρόκριτος, ὡς ἐγὼ κρίνω·
» σὸν φθινόπωρον κρεῖττον ἢ ποῖος λόγος
» ἔαρος ἄλλου, σὸς δὲ χειμὼν καλλίων
» ὀπωροφυοῦς εὐκρατοῦς ἄλλου θέρους.
» Ἀλλ' ἐκδυθείης μέχρις αὐτοῦ σαρκίου,
» καὶ γυμνὰ γυμναῖς ἐμπελάσειας μέλη·
» ἐμοὶ δοκεῖ γὰρ καὶ τὸ λεπτόν σου φάρος
» τεῖχος Σεμιράμιδος· ὡς γένοιτό μοι! »
Τοσαῦτα λέξας εἰς τὸν οἶκον ἐςράφη,
τὴν γραῦν ὀπαδὸν λιπαρῶν ἐκ νευμάτων
ὡς τὴν κόρην πείσειεν ἐκδεδωκέναι·
ἡ καὶ λαβοῦσα τὴν κόρην ὡδοιπόρει·
ἡ νὺξ γὰρ ἠνάγκαζεν ἀνθυποςρέφειν·
Ὁ γοῦν Χαρικλῆς ἐν Ξενοκράτους μένων,
πρὸς ὄρθρον ἀντέφασκε ταῖς χελιδόσι·
« Πᾶσαν μὲν ἤδη νυκτὰ γρηγορῶν μένω·
» εἰ δ' ὄρθρος ἥξει μικρὸν ὕπνον ἐγχέων
» χελιδόνες τρύζουσιν, οὐκ ἐῶσί με.
» Παύου, κακῶν κάκιςον ὀρνέων γένος.

» qui nesciat quid sit amor, cum in terras
» ad puellam non descendat, Leda gratiorem
» unam, et Danae, Ganymede, et Europe.
» Accedens etiam ruga vix tandem tibi, succo,
» judice me, præstabit juventæ; autumnus-
» que tuus melior erit vere alius, hyems-
» que tua pulchrior alius fructifera tempera-
» taque æstate. Sed denudator, quæso,
» adusque cuticulam, et nuda nudis mem-
» bra membris conseras; etenim leve hoc
» tuum amiculum mihi Semiramidis murus
» esse videtur. Atque utinam ista fiant. »
His dictis, domum reversus est, anum puellæ asseclam nutibus rogans, ut molliorem sibi faceret puellam. At illa, sumta puellæ manu, incedebat; nox enim reditum suadebat. Interea Charicles apud Xenocratem divortens, diluculo hirundinibus dicebat : « Tota jam vigilo nocte : quando
» autem aurora adveniens brevem oculis in-
» fundit somnum, en hirundines dormire
» me non sinunt tinnientes. Desinite mala-
» rum maxime malum genus avium.

» Fero non ense abstuli Philomelæ linguam,
» metu ne incestos proderet concubitus.
» Abite ergo in asperas tristesque solitudines,
» absumti fata gementes Ityli, ut pauxillum
» dormiam, adsitque dormienti somnium,
» quod me forsan amatæ amantem puellæ
» implicabit ulnis. Tithone, longo quia gran-
» dior ævo, Auroram tuam, caram tuam con-
» jugem, e lecto exturbasti. » Charicli rursus somnolentia oppresso pulcher adstitit Bacchus, significans Drosillam in pago apud anum Maryllida degere; et ad quærendum puellam excitat.

» Οὐκ αὐτὸς ἐξέκοψα, μίξεως φόβῳ,
» τὴν φιλομήλας γλῶτταν, ὡς μήτε λέγειν.
» Ἀλλ' εἰς τραχεῖαν καὶ στυγνὴν ἐρημίαν
» τὴν Ἴτυος καὶ συμφορὰν θρηνεῖτέ μοι,
» ὡς μικρὸν ὑπνώττοιμι· καὶ κοιμωμένῳ
» ὄνειρος ἥξει, χειρὶ τῆς ποθουμένης
» ἴσως με τὸν ποθοῦντα συμπλέκειν θέλων.
» Τιθωνὲ, γήρᾳ τὴν σὴν Ἠῶ, τὴν φίλην
» σὴν εὐνέτιν, ἤλασας ἐκ τοῦ σοῦ λέχους. »
Ὧ καὶ πρὸς ὕπνον αὖθις ἐκνενευκότι
ὁ καλλίμορφος Διόνυσος ἐγγίσας,
δηλοῖ μένειν Δροσίλλαν ἐν τῷ χωρίῳ
εἰς τὸ γραὸς δόμημα τῆς Μαρυλλίδος,
καὶ τῆσδε συζήτησιν αὐτῷ προτρέπει.

ΤΩΝ

ΚΑΤΑ ΔΡΟΣΙΛΛΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

ΗΔΗ μὲν ὄρθρος καὶ κροκόχρως ἡμέρα,
καὶ φῶς ἐναργὲς πανταχοῦ κεχυμένον
ἐκ τοῦ μεγίϛου καὶ διαυγοῦς ἀϛέρος
ἐξ ὠκεανοῦ προβαλόντος τῇ κτίσει,
ὡς ἡ σοφὴ ποίησις ἥδιϛα γράφει,
σύμμετρα θερμαίνοντος ἐξ ὑψωμάτων
ὀρῶν κορυφὰς καὶ δασυσκίους πόδας
εἰς εὔγονον βλάϛημα καὶ τέρψιν βίου·
ἀνίϛαται δὲ καὶ Χαρικλῆς ἐξ ὕπνου,
καὶ τοῦ δόμου πρόεισι τοῦ Ξενοκράτους,
λαβὼν μετ᾽ αὐτοῦ καὶ Κλέανδρον τὸν ξένον.
Ἡ γραῦς δὲ λοιπὸν δακρύουσαν ὀρθρόθεν
παρηγορεῖσθαι τὴν κόρην πειρωμένη,
ἔφασκε· » Δεῦρο, τέκνον, ἐξάγγελλέ μοι
» πόθεν, τίνος σὺ, καὶ πατρὶς τίς καὶ πόλις,

DROSILLÆ ET CHARICLIS

RERUM

LIBER SEPTIMUS.

JAM mane erat, auroraque fulgebat crocea, et lumen clarissimum ubique ex maximo diffundebatur splendidoque astro, quod, relictis oceani fluentis, mundo illucescebat (ut eum amœnis docta poesis depingit coloribus), et tepido recreabat calore cœli e convexis montium cacumina umbrososque pedes, unde vernant omnia, fitque vita jucundior : cum e somno surrexit Charicles, et e domo Xenocratis egressus est, assumto Cleandro in societatem viæ. Anus vero gementem jam a diluculo puellam alloqui voluit, et, « Huc » ades, « inquit « filia, narraque unde sis, » et qui pater, quæ patria, quæ civitas;

» quidque gemis Chariclem incusans. Igna» vus est iste dolor insanaque tua mœstitia » Callidemi nuptias abnuentis, qui omni» bus hujusce loci incolis pulchrior est, di» vitiisque ante alios florentior omnes. Non » recte agis, paupercula tu et hospita, Cal» lidemum nobilem juvenem quæ tuo non » dignaris cubili. » Cui Drosilla respondere infit : « A me discere cupis hospita fallere » nescia res meas et Chariclis. » Audivit Cleander et cursum continuit, nam forte ante Chariclem currebat, atque amici nomen progredi ipsum non siverat : et « Charicles, » ait, « promitte Cleandro, promitte doloris » tui participi te jam fore lætum. » Ad hæc obstupuit Charicles ipso vocis conturbatus sono. Jamque arrepta alter alterius manu, ad domum accedunt, ubi bona illa anus cum Drosilla teneriter confabulabatur.

» τί ἂν Χαρικλῆν ἐγκαλουμένη ϛένεις;
» Πενθεῖς δ' ἀγεννῶς, καὶ ϛενάζεις ἀφρόνως,
» τὸν Καλλιδήμου γάμον οὐ δεδεγμένη,
» ὃς ὑπὲρ ἄλλους τοὺς κατοίκους ἐνθάδε
» ὡραῖός ἐϛι καὶ τέθηλε χρυσίῳ.
» Οὐκ εὖγε ποιεῖς, ὦ πένησσα καὶ ξένη,
» εἰ Καλλίδημον εὐγενῆ νεανίαν
» οὐκ ἄξιόν σοι συμμιγῆναι νῦν κρίνεις. »
Τῆς δὲ Δροσίλλης τοῦ λαλεῖν ἀπηργμένης,
« Μαθεῖν ἐπιζητεῖς με νημερτὴν ξένην
» τὰ κατ' ἐμαυτὴν καὶ τὰ τοῦ Χαρικλέος, »
ἤκουσεν ὁ Κλέανδρος· ἔϛη τοῦ δρόμου·
ἡ γὰρ Χαρικλοῦς κλῆσις ἔσχε τὸν νέον
ἔμπροσθεν ἐκτρέχοντα τοῦ Χαρικλέος·
καὶ » Δὸς, Χαρίκλεις, τῆς χαρᾶς τὰς ἐγγύας
» ἐμοὶ Κλεάνδρῳ συνταλαιπωροῦντί σοι, »
ϛραφεὶς πρὸς αὐτὸν φησὶ τὸν Χαρικλέα,
ὃν καὶ κατεξέπληξεν αὐτῷ τῷ λόγῳ,
ὃν καὶ κατεθρόησε τῇ φωνῇ μόνῃ.
Ἐντεῦθεν ἀντιδόντες ἀλλήλοις χέρας,
ἄμφω παρεμβάλλουσιν αὐτῇ τῇ ϛέγῃ,
ἧς ἔνδον ἡ γραῦς, ἡ φίλοικτος καρδία,
μετὰ Δροσίλλης ἐμπαθῶς προσωμιλεῖ.

Φωνὴ μεταξὺ χαρμονῆς καὶ δακρύων
χειρῶν κρότος, θροῦς καὶ φιλημάτων κτύπος,
ἄμετρος ὄμβρος ἐκραγεὶς τῶν ὀμμάτων,
πρὸς τὸν Σεμέλης φθόγγοι εὐχαριστίας,
καλοὶ μὲν εἰς γραῦν οἱ Χαρικλέος λόγοι
ὑπὲρ Δροσίλλης τῶν φιλοξενημάτων,
πολλὴ δὲ πρὸς Κλέανδρον εὐχαριστία
ἀπὸ Δροσίλλης τῆς ἀρίστης παρθένου
τῶν πρὸς Χαρικλῆ συγκακοπραγημάτων·
τοιοῦτος ἦν θροῦς ἐν μέσῳ τῶν τεσσάρων
σύμμικτος ὄντως χαρμονῆς καὶ δακρύων.
Οὐ μὴν ὁ Καλλίδημος ἠγνόησέ τι.
Ἀποσκοπῶν γοῦν καθ' ἑαυτὸν ἀφρόνως
δράσειν φόνειον ἔργον εἰς Χαρικλέα
ἀτραυματίστως, οὐ καθῃματωμένως,
ὡς εὐτυχήσοι τῆς Δροσίλλης τὸν γάμον,
εἵληθεν αὐχμῶν τὸν βρόχον παραυτίκα.
Ὡς εἶδε δ' αὖθις γνόντα τὸν Χαρικλέα
τὴν τῆς κόρης ἄφιξιν ἐν τῷ χωρίῳ
πρὸ τοῦ προβῆναι τὸν σκοπούμενον δόλον,
ἀπαυθαδίσας ἐξ ἐρωτομανίας,
πρὸς ἁρπαγὴν ὥρμησε λῃστρικωτέραν·
οὐκ αἰσχύνην γὰρ οἶδε πολλάκις ἔρως·

Voces gaudio plenæ et lacrymis, manuum complosio, osculorum et murmur et sonus, imber multus ex oculis profluens, verba in Semeles filium grati animi indicia, blandum Chariclis ad aniculam alloquium ob præstitum Drosillæ hospitium, et Drosillæ optimæ puellæ ad Cleandrum ob amicam cum Charicle malorum consortionem: talis inter hosce quatuor confusus audiebatur lætitiæ et lacrymarum sonus. Nec Callidemum hæc latuerant. Nam secum insulse reputans qui posset sine vulnere cædeque mortem Chaᵣicli inferre, ut Drosillam sibi nuptam haberet, veniebat subita laborans faucium ariditate. At intellecto Chariclem, priusquam instrueretur dolus, cognovisse puellæ isthuc adventum, ex furore erotico factus audacior ad raptum se accinxit latronum ritu moreque. Etenim sæpe pudorem prorsus abjecit amor.

Cum ergo statuisset per silentia noctis juvenes clam opprimere, auxiliante amicorum turba, et virginem rapere, parata ad fugam nave; pro flamma quam accendunt cupidines, tertianæ febris igne consumtus trepidare cœpit; et pro nave qua debebat avehi, tristi fuit afflictus lectulo; atque pro celeri quam sperabat alium in pagum fuga, pedum fuit impeditus immobilitate. Interea Chariclem roscidorum Drosillæ osculorum satias nulla capiebat: si quis enim amatam puellam osculetur, non satiari potest dulci illo gaudio quod per medium cor leniter diffluit. Arida omnino sunt illa labia, quæ, hac osculorum diffundente se voluptate, dulcedine nimia non titillantur. Ergo cum basiis tandem pausam fecissent, anus Marillys « Charicles,
» fili mi » inquit « bonum factum quod huc
» accedens servatam Deorum ope Drosillam
» inveneris,

σκοπῶν δὲ νυκτὸς ἀμφὶ τὴν ἐρημίαν
ἐπεισπεσεῖν ἄγνωςα τοῖς νεανίαις,
ἔχων σὺν αὐτῷ καὶ συνήλικας νέους,
ὡς δῆθεν αὐτὴν τὴν κόρην ἀφαρπάσων·
εἰς γὰρ ἀπόπλουν ηὐτρέπιζεν ὁλκάδα.
ἀντὶ φλογὸς μὲν ἦν ἀνῆπτον οἱ πόθοι,
πρηςήριον πῦρ εἶχε τριταῖον τρόμον·
ἀντὶ δὲ νηὸς τῆς ἀποπλευσουμένης,
ἔσχηκεν αὐτὸν ἡ ταλαίπωρος κλίνη·
ἀντὶ φυγῆς δὲ τῆς ἐς ἄλλο χωρίον,
μακρὰν ποδῶν εὕρηκεν ἀκινησίαν.
Ὁ γοῦν Χαρικλῆς εἶχεν οὐδένα κόρον
τῶν τῆς Δροσίλλης ἐνδρόσων φιλημάτων·
εἰ γὰρ φιλεῖν τις τὴν ποθουμένην λάβοι,
ἄπληςός ἐςιν ἐν μέσῃ τῇ καρδίᾳ
τὴν ἡδονὴν ῥέουσαν εὐκόλως ἔχων·
τὸ χεῖλος οὐκοῦν ἐςὶν ἐξηραμμένον,
τὸ γλυκύτητα μετρίαν κεκτημένον,
τῆς ἡδονῆς ἐκεῖσε συγκενουμένης.
Ἀπαλλαγέντων τοίνυν ἐκ φιλημάτων,
ἡ γραῦς Μαρυλλὶς ἀντέμειψε καὶ λέγει·
» Τέκνον Χαρίκλεις, εὖ μὲν ἦλθες ἐνθάδε
» εὑρὼν Δροσίλλαν ἐκ θεῶν σεσωσμένην,

» ἢ μέχρι καὶ νῦν οὐκ ἔληξε δακρύων
» καὶ τῶν χάριν σοῦ πενθικῶν ὀδυρμάτων·
» ὡς εὖ μὲν ἦλθες, (τοῖς Θεοῖς πολλὴ χάρις
» τοῖς μέχρις ἡμῶν ὑγιᾶ σεσωκόσι
» καὶ τῇ ποθούσῃ ζῶντα συμμίξουσί σε!)
» ὡς εὖ μὲν ἦλθες, τέκνον, εὖ δὲ καὶ λέγοις
» ὅπως μὲν εἰς σύμπνοιαν ἤλθετον μίαν,
» ποία δὲ πατρὶς, καὶ τὰ τοῦ πόθου πόθεν,
» τίς δ᾽ οὗτος ὁ Κλέανδρος αὐτὸς ὁ ξένος,
» ποίῳ δ᾽ ἀπεζεύχθητον ἀλλήλων λόγῳ,
» καὶ νῦν ἐπιγνώσθητον ἀλλήλοις πάλιν.
» Ἔμελλε πάντως τοῦ λέγειν ἀπηργμένη
» ἡ παρθένος μοι ταῦτα διεξιέναι,
» ναὶ καὶ καθ᾽ εἱρμὸν πάντα τετρανωκέναι,
» πρὸ τοῦ σὲ τὸ στέγασμα κατειληφέναι. »
» Ἐπ᾽ ὠδύνων γὰρ καὶ μετὰ στεναγμάτων
» ἡ πῶς γὰρ ὁ Κλέανδρος εἶπεν εὖ λέγεις. »
» Ἐπεὶ δὲ σύ μου τὴν στέγην, χρυσῇ τύχῃ!
» ἔδυς, Θεῶν ἔκ τινος ὡδηγημένος,
» ὡς ἂν μικρὸν λήξειε τῶν ὀδυρμάτων
» ἡ νύκτα δακρύουσα καὶ μεθ᾽ ἡμέραν,
» λέγοις ἂν ἡμῖν σὴν ἄφιξιν ἐνθάδε,
» καὶ τὴν Ἔρωτος μυστικὴν εὐτολμίαν.

» quæ usquedum lacrymarum te propter tris-
» tiumque ejulatuum non desinebat : fauste
» inquam, advenisti, et Deis ago gratias,
» qui te sanum nobis reduxerunt et vivum
» puellæ jungent amanti ; at, fili, ut fauste
» advenisti, sic fausta mihi narratione ape-
» rias, quo in hunc incidistis amorem mo-
» do ; quæ patria ; amandi quæ origo ; quis
» Cleander ille amicus tuus ; qua fuistis dis-
» juncti fortuna, et qua nunc conjuncti
» rursus. Drosilla quidem omnia mihi nar-
» rare cœperat atque ordine pandere,
» paulo priusquam tectum ingressus es. »
Tum Cleander : « Cum gemitibus et suspi-
» riis fiet (nam qui aliter ?) fausta hæc nar-
» ratio ! » — « Quandoquidem (o fortunam
» auream !) meum tuguriolum ingressus es,
» duce Deorum aliquo et auspice, ut parum-
» per tollat mœstitiam puella quæ interdiu
» flet noctuque, narres nobis tuum huc
» adventum et Amoris arcanum audaxque
» facinus.

» Quid enim adhuc, te præsente, Drosillam
» dolore potest afficere vel ægrimonia?
» Quemadmodum enim te absente geme-
» bat, inclamabat, lugebat amariter, graviter
» suspirabat; sic te præsente (o Deos serva-
» tores!) et in communi hac omnium læti-
» tia, commodo narratio tramite procedat.
» Atque dulci oris tui favella curas delinies
» puellæ, vocis amatæ cum bibet aure so-
» nos; et me recreabis simul, quæ tam
» anxie condolui malis quibus usquedum
» misella obruta fuit. »—« Quantum vellem,
Charicles ait « o bona Maryllidium, a virgi-
» ne rescire prius quo fuerit servata modo,
» alto de cacumine montis in mare delapsa;
» hominum alii quod vix contingere possit.
» Etenim ingenti nunc teneor admiratione,
» si forte imaginem Drosillæ, non ipsam
» cerno Drosillam. At quandoquidem, anus
» optima, pro tantis tuis beneficiis, me tibi
» nostrarum narrare cupis miseriarum vicis-
» situdines, audi (neget quis aliquid Maryl-
» lidi) quæ sit tantæ causa lætitiæ

» Τί γὰρ τὸ λυποῦν τὴν Δροσίλλαν εἰσέτι,
» ἢ τὸ θλίβον τί, σοῦ, Χαρίκλεις, ἰγμένου;
» Ὡς γὰρ ἀπόντος ἐςέναζεν, ἐθρόει,
» ἔκλαιε πικρῶς, ὠλόλυζε βαρέως,
» οὕτω παρόντος, ὦ θεῶν σωτηρίων!
» πάντως κρατούσης ὡς χαρᾶ συνημμένης,
» εὔχρηςον οἶμον ἡ διήγησις λάβοι.
» Καθηδυνεῖς δὲ καὶ πλέον τὴν παρθένον,
» σοῦ γλυκεροῦ ςόματος ἠνεωγμένου,
» τὸν ἐξ ἐκείνου φθόγγον ἠνωτισμένην·
» θάλψεις δὲ κἀμὲ συμπαθεῖν ἐγνωσμένην
» οἷς μέχρι δεῦρο δυσχερῶς ἐπλημμέλει. »
« Ὡς ἤθελον πρώτην μὲν αὐτὴν τὴν κόρην,
» φιλὸν Μαρυλλίδιον, ἠρωτηκέναι, »
ἔφη Χαρικλῆς, » πῶς σέσωςο καὶ μόνη
» πεσοῦσα πρὸς θάλασσαν ἐξ ὕψους ὄρους!
» ὡς νῦν ἐγὼ τὸ θάμβος ἡλίκον φέρω,
» εἰ μὴ Δροσίλλαν φασματούμενος βλέπω·
» ἐπεὶ δὲ σὸν θέλημα, γραῦ, μὲ νῦν λέγειν
» ἡμῶν τοσαύτας τληπαθεῖς περιόδους
» εἰς ἀνταμοιβὴν τῶν φιλοφρονημάτων,
» ἄκουε (πῶς γὰρ καὶ παραγκωνιςέον;)
» τὴν τῆς τοσαύτης αἰτίαν θυμηδίας

» ἐμοὶ, Δροσίλλῃ, καὶ Κλεάνδρῳ τῷ ξένῳ.
» Εὖ δ' ἴσθι· πατρὶς ἐστὶν ἡμῶν ἡ Φθία·
» μήτηρ ἐμοὶ μὲν Κρυστάλλη, πατὴρ Φράτωρ,
» τῇ δὲ Δροσίλλῃ Μυρτίων, Ἡδυπνόη.
» Ταύτην, ἑορτὴν ἐντελῶς τελουμένην
» τοῦ τῆς Σεμέλης καὶ Διὸς Διονύσου,
» ἔξω παρ' αὐταῖς ταῖς πύλαις τῆς πατρίδος
» συνεξιοῦσαν ἁπαλαῖς σὺν παρθένοις
» ἰδὼν, ἑάλων· οὐδὲ γὰρ μέμψις, γύναι,
» ὁρῶντα ταύτης τοῦ προσώπου τὴν θέαν·
» εἰς γὰρ τοσοῦτον συῤῥέον πλῆθος τότε
» οὐκ ἦν ἰδέσθαι τῆς Δροσίλλης καλλίω.
» Ἀλοὺς προσεῖπον, καὶ προσειπὼν ἠξίουν
» ἐμαυτὸν αὐτῇ τῇ φυγῇ μεθαρμόσας.
» Ἔνευσεν, ἀντέρωτα πάσχουσα ξένον·
» καὶ ναῦν ἀποπλέουσαν ἐξευρηκότες,
» χαίρειν ἀφέντες συγγενεῖς καὶ πατρίδα,
» ὁμοῦ συνεισέδυμεν εἰς τὴν ὁλκάδα,
» πλὴν ἀλλὰ μικρὸν καὶ πλέουσαν εὐδρόμως.
» Ἥλωμεν οὕτως ἀπροόπτως ἀνδράσιν
» τοῖς ναυτικῇ χαίρουσι τῇ λῃστηρίῳ,
» ὧν χεῖρας ἐκφυγόντες ὀψὲ καὶ μόλις,
» σεσώσμεθα κρυβέντες ἐς μέσην ὕλην,

» meæ, Drosillæque, et amici Cleandri. Pa-
» tria (te enim hoc probe novisse oportet)
» nobis est Phthia. Matrem habeo, Crystal-
» len; patrem, Phratorem: Myrtion autem
» Drosillæ pater; et mater, Hedypnoe. Die
» quodam Bacchi, Semeles et Jovis filii,
» festo, illam ex urbis portis una cum tene-
» ris virginibus progredientem ut vidi, ut
» perii! Nec me aliquis periisse vituperabit,
» mulier, viso tam formoso puellæ vultu.
» Quippe, in tanta undique affluente turba,
» Drosilla pulchrior femina nulla fuit. Amare
» me dixi, et rogavi ut mihi vellet esse fugæ
» comitem. Annuit, quippe quæ amantem me
» egregie redamabat. Cumque navem jam
» jam solventem invenissemus, valedicentes
» parentibus et patriæ, simul navigium fui-
» mus ingressi. Brevi post tempore, cum
» favente vento navigaremus, ecce ex im-
» proviso in homines incidimus, qui piraticam
» exercebant: e quorum manibus cum vix
» tandem evasissemus, in densa nos occul-
» tamus silva,

» et cursu demum Barzum occupamus. Atque rursus Barzo simul egredimur in solemni festoque Jovis epulo. At hic præda facti sumus Parthico exercitui; et colla catenis vincti in eorum oppidum perducimur. Cumque multos dies in gemitibus, heu quantis! consumpseramus, optimum hunc Cleandrum, quem cernis, mulier, captum jam antea Barbaris, socium servitutis invenimus. Etenim inexpectatam servire coacti servitutem, externos experti fuimus heros, et amores, heu! nimium quantum infelices. Dein rursus, Parthis profligatis, in Arabum venimus, ter capti, potestatem. Ecce ducebamur captivi per viam quam spissa densiorque silva coarctabat, et nitebamur, aliusque alium prehendebat, justo non sine metu, ne in præcipitia delapsi loca mari sepeliremur:

» καὶ Βάρζον εἰσέδυμεν ἄςυ σὺν δρόμῳ·
» ὃ καὶ συνεξέδυμεν ἐκτελουμένης
» κἀκεῖ μεγίςης τοῦ Διὸς πανδαισίας.
» Ἐμπίπτομεν δὲ Παρθικῇ ςραταρχίᾳ
» θήραμα καινόν· καὶ δεθέντες αὐχένας
» εἰς τὴν ἐκείνων ἀντεπήχθημεν πόλιν.
» Ἐκεῖσε πολλῶν ἡμερῶν περιδρόμους
» μετὰ ςεναγμῶν ἐκμετρήσαντες πόσων!
» καὶ τὸν καλὸν Κλέανδρον ὃν βλέπεις, γύναι,
» προαιχμαλωτισθέντα χειρὶ Βαρβάρων
» συνοικέτην κάλλιςον ἐξευρηκότες
» (καὶ γὰρ φυλακῆς εἴδομεν παρ' ἐλπίδα
» δούλειον ἦμαρ, ἀλλοφύλους δεσπότας,
» καὶ δυςυχεῖς ἔρωτας, ἀλλὰ καὶ πόσους!),
» συνηχμαλωτίσθημεν αὖθις ἐκ τρίτου
» Ἄραψι, Πάρθων κατατετροπωμένων.
» Τοίνυν λαχόντες δέσμιοι, παρηγμένοι
» ὁδὸν διελθεῖν πανταχοῦ ςενουμένην
» ἐκ τῆς δασείας καὶ συνηρεφοῦς ὕλης,
» ἠγωνιῶμεν, ἄλλος ἄλλον ἐκράτει,
» ποιούμενοι δίκαιον εὔλογον φόβον
» μὴ, ἐπολισθήσαντες ἐκ κρημνισμάτων,
» σχοίημεν αὐτὴν τὴν θάλασσαν εἰς τάφον

» ὃ καὶ πέπονθεν ἡ παροῦσα παρθένος,
» ἣν ζῶσαν, ὦ Ζεῦ καὶ θεοὶ πάντες! βλέπω.
» Ὁ κύριος γοῦν Ἀράβων ἄναξ Χάγος
» θρηνοῦντα νύκτωρ καὶ μαθών με τὴν κόρην,
» μετὰ Κλεάνδρου τοῦ παρόντος εὐθέως
» ἐλευθεροῖ, σχὼν οἶκτον ἡμῶν τοῦ πάθους·
» οὗ καὶ τὰ συμφέροντα πάντα τῷ βίῳ
» τὴν τ ν θ ῶν πρόνοιαν ἐξητηκότες,
» ἀπηλλάγημεν δουλικῆς ζεύγλης βάρους·
» ἐγγίζομεν δὲ δωδεκαταίῳ φάει
» μόλις παρ' αὐτοῦ τῇ στέγῃ Ξενοκράτους.
» Ἐμέλλομεν δὲ σήμερον τὸ χωρίον
» παραβραχὺ λιπόντες ἀλλαχοῦ τρέχειν
» (τρεῖς γὰρ διηνύκειμεν ἐν Ξενοκράτους
» πρὸς παῦλαν ἄχθους ἡμερῶν περιδρόμους),
» εἰ μὴ θεῶν ὄνειρος ἐξαπεστάλη,
» ἢ μᾶλλον οὐκ ὄνειρος, ἀλλὰ προφθάσας
» ὁ καλλίμορφος παῖς Διὸς καὶ Σεμέλης
» ἐπέσχεν, εἰπών· Μὴ πρόβαινε μηκέτι,
» ἕως Δροσίλλαν, ἣν ἰδεῖν ζῶσαν θέλεις,
» θρηνοῦσαν εὕρῃς οὖσαν ἐν τῷ χωρίῳ.
» Τὰ γοῦν καθ' ἡμᾶς, ὥσπερ ᾔτησας, γύναι,
» ἔχεις μαθοῦσα· πλὴν τὰ λοιπὰ τοῦ λόγου

» quod puellæ accidit isti, quam, o Jupiter
» Diique omnes! præsentem et vivam in-
» tueor. At rex Arabum Chagus, comperto
» me noctu puellam lugere amissam, pro-
» tinus cum hoc Cleandro liberum me di-
» misit, nostra nempe misertus infortunia.
» Cui cum prospera omnia a Deorum pro-
» videntia fuissemus adprecati, servilis onera
» jugi deposuimus; et duodecimo die adi-
» mus ad domum Xenocratis. Hodie autem
» vicum hunc linquere destinaveramus, et
» pergere alio (tres enim apud Xenocra-
» tem dies quietis causa mansimus); ni mis-
» sum a Deis insomnium, aut ipse potius pul-
» cher Jovis et Semeles filius me ab incœpto
» retraxisset, Ne longius, dicens, abeas,
» mœstam donec Drosillam, cupis quam
» cernere vivam, in hoc pago inveneris. Nos-
» tra nunc tenes, mulier, nosse quæ vole-
» bas. At cætera nunc

» ab ipsa volo rescire virgine ; quo potuit » modo, in mare delata, hic ad te se reci- » pere, quæ ipsi altera fuisti Hedypnoe. » Tunc Drosilla : « Etsi mihi, Charicles, cru- » delis Fortuna tristes usque velit fatalibus » filis nere casus; attamen conservatoris pro- » videntia Dei, quem nostro faventem amo- » ri sumus experti (et nunquam desinas, » Rex optime, maxime, exulem me patria » pro nutu tuo servare!) usque vult prodesse » nobis, quæ me cadentem (o funestum » arboris ramum; cui brachium ex ulna pre- » hensum hæsit, quique raptam me e sedili » in profundum dedit præcipitem!) quæ » igitur me servavit saxis pectus, et látera » brachiaque inlidentem » (Et obtutu in loquentem defixo puellam, Charicles can- didos ejus roseosque nitidosque basiabat di- gitos non sine lacrymis), « quæ hisce quas » nunc deoscularis et comprimis manibus » corticem subjecit, latum adeo et protensum

» αὐτὴν ἐρωτᾷν ἀξιῶ τὴν παρθένον,
» πῶς ἔσχεν εἰς θάλασσαν ἐξεῤῥιμμένη
» ἐνταῦθα πάντως πρὸς σὲ κατειληφέναι
» αὐτῇ φανεῖσαν δευτέραν Ἡδυπνόην.»
« Ἐμοί, Χαρίκλεις, κἂν ὁ βάσκανος μίτος »
ἔφη Δροσίλλα « τῆς ἀλάστορος τύχης
» ἀεὶ τὰ λυπρὰ συμπερικλώθειν θέλῃ,
» ἀλλ' ἡ θεοῦ πρόνοια τοῦ σωτηρίου,
» ὃν καὶ συνεργὸν τῆς καθ' ἡμᾶς ἀγάπης
» ἐπευτυχοῦμεν (ἀλλὰ μὴ λήγοις, ἄναξ,
» τὴν λειπόπατριν συμφυλάττων, ὡς θέλεις!)
» ἀεὶ τὰ χρηστὰ βούλεται συνεισφέρειν,
» ἥτις πεσοῦσαν (ὢ παλαμναίου κλάδου,
» τοῦ χεῖρα συλλαβόντος ἐκ τῆς ἀγκάλης,
» καὶ πρὸς βυθὸν ῥίψαντος ἐξ ἕδρας μέσης!)
» ἔσωσε πέτραις πολλὰ προσκεκρουμένην
» τὰ στέρνα καὶ τὰ σπλάγχνα καὶ τὰς ὠλένας »
(Καὶ, συγκεκυφὼς προσλαλούσῃ τῇ κόρῃ,
λευκοὺς ἐρυθροὺς κρυσταλλώδεις δακτύλους
ταύτης Χαρικλῆς κατεφίλει δακρύων),
« ταῖς χερσὶν ἃς σὺ νῦν φιλεῖς καὶ κατέχεις,
» τὸν φλοιὸν ἐντέθεικε, καὶ δέδωκέ μοι
» τοιοῦτον, εὐρὺν καὶ παρεκτεταμένον

» ὡς θᾶττον εἰς γῆν ἐμβαλεῖν σεσωσμένην; »
» Ὦ χαῖρε πολλὰ, Διόνυσε γῆς ἄναξ,
» ὅςις με πολλῶν ἐξέσωσας κινδύνων,
» καὶ μεῖζον ἄλλο δῶρον ἀντεχαρίσω!
» Ἣν ἐν νεκροῖς ἤλπιζον ἐν ζῶσι βλέπω. »
Καὶ συμπλακέντες τῷ μεταξὺ τῶν λόγων
ὡς κισσὸς εἰς δρῦν, ἀντεφίλουν ἀλλήλους.
Οὕτω δυσαπόσπαςον εἶχον τὴν σχέσιν,
ὡς καὶ δόκησιν συμβαλεῖν Μαρυλλίδι
καὶ σῶμα πάντως ἓν γενέσθαι τοὺς δύο,
ἢ τὸ προλαβεῖν ἦλθον εἰς ψυχὴν μίαν·
τοιοῦτός ἐςι πᾶς ἐρῶν πόθου πνέων·
καὶ γὰρ κατιδὼν ἣν ποθεῖ μετὰ χρόνον
ἄπληςα φιλεῖ πρὸς τὸ λῆξαι τοῦ πόθου.
Μόλις Χαρικλῆς ἄρτι νήψας ἀντέφη·
« Ἀλλ' ὦ τοσοῦτον ὥςε μὴ σθένειν λέγειν,
» ὦ φῶς ἱμερτὸν, ὦ πνοὴ καὶ καρδία,
» πῶς τὴν τοσαύτην καὶ διήνυσας τρίβον,
» καὶ πρὸς τὸ παρὸν ἔσχες ἐλθεῖν χωρίον; »
» Ὃ καὶ θαλάσσης ὑδάτων ἀφαρπάσας
» καὶ τὸν Χαρικλῆν ζῶντα νῦν μοὶ δοὺς βλέπειν. »
Τούτοις Μαρυλλὶς προσχαρὴς δεδειγμένη
ἔφησεν « Ὡς καινόν τι δέρκομαι, ξένοι!

» ut brevi fuerim in littus exposita? » — O » salve multum, Bacche terrarum rex, qui » me a multis eripuisti periculis, et majus » aliud dedisti donum! Quam inter mor- » tuos esse sperabam, nunc vivam cerno. » Hæcque inter verba, adhærentes alter alteri, quercui velut hedera, se mutuis invitabant osculis, arctis adeo nexi vinculis, ut Maryllis crediderit, vel unum e duobus fuisse corpus adunatum, vel duo unam habere animam corpora. Non aliter comparatus est omnis amans, cum fervet desiderio. Quando etenim longum post tempus amatæ visu potitur, multo se proluit osculorum rore, restinguat ut cupidinis ignes. Tandem Charicles factus sui compos: « O mea lux! » o anima! o corculum! quomodo tam lon- » gum potuisti conficere iter, et ad hæc » pervenire loca? » — « Qui ex maris fluc- » tibus me eripuit Chariclemque vivum nunc » meos sistit ante oculos, ille mihi fuit lon- » gæ duxque comesque viæ. » Ad hæc Maryllis læto vultu: « Rem video, hospites, » prodigiosam.

» Anus sum quidem jam grandi provecta » ætate, et multa sum experta bona ma- » laque : nondum tamen tanto fui testis » amori; nec vidi unquam tam pulchrum » par tam gravibus et catenatis, a tenera » jam ætatula, opressum malis. Illam vero, » proh Jupiter! virginem usque et castam, » idque non semel servitutem servientem, » immanes effugisse herorum amores; hunc » vero ipsis Barbarorum gladiis, æstivum ut » gramen messoris falci, subjectum, in vivis » adhuc esse, et una cum puella, a qua se » dudum separatum esse dolebat : Dei hoc » esse dicis opus et merito quidem, sapiens » Drosilla. Valeat ergo Callidemus. Quos » junxit Deus, quis disjungat? » His dictis, mensaque in medio posita, « Vobis, » ait « Hospites, hodie gaudii ero particeps; » quidni enim? et saltabo vobiscum in ho- » norem Bacchi, qui miseros amantes fauste » conjunxit. » Igitur genio indulgentes, ple- nis se proluunt poculis.

» Καὶ γραῦς μὲν εἰμὶ καὶ προβᾶσα πρεσβῦτις,
» χρηςῶν δὲ πολλῶν καὶ κακῶν ἴδρις ἔφυν·
» πλὴν ἀλλὰ γὰρ τοσοῦτον οὐκ ἔγνων πόθον,
» οὐδ' εἶδον οὕτως εὐφυῆ συζυγίαν
» ἐλθοῦσαν εἰς μέθεξιν οἰκτρῶς ἐκ νέου
» οὐ καρτερητῶν ἀλλεπαλλήλων πόνων.
» Καὶ τὴν μὲν, ὦ Ζεῦ, παρθένον τηρουμένην,
» καὶ ταῦτα δούλην πολλάκις δεδειγμένην,
» τοὺς ἐμμανεῖς ἔρωτας ἐκπεφευγέναι,
» τὸν δὲ πρὸς αὐτὰ βαρβάρων γυμνὰ ξίφη,
» ὡς εἰς θέρος ἄγρωςιν, ἐμπεπτωκότα,
» ἐν ζῶσιν εἶναι, καὶ συνεῖναι τῇ κόρῃ,
» ταύτης λέγοντα τὴν διάζευξιν πάλαι·
» Θεοῦ λέγεις τὸ πράγμα, καὶ καλῶς λέγεις,
» σῶφρον Δροσίλλα. Καλλίδημος ἐῤῥέτω.
» Οὓς γὰρ θεὸς συνῆψε τίς διασπάσοι; »
Ἔφησε ταῦτα, καὶ τράπεζαν εἰς μέσον
τέθεικεν, « Ὑμῖν συγχαρήσομαι, ξένοι,
» τὴν σήμερον· » λέγουσα « συμπάρεςί μοι·
» καὶ συγχορεύσω τῷ θεῷ Διονύσῳ,
» παθόντας οἰκτρὰ προσφυῶς ἡνωκότι. »
Οὗτοι μὲν οὖν ἐντεῦθεν ἠσχολημένοι
τρυφαῖς, κρατῆρσιν ἀμφεγάννυντο πλέον·

ἡ γραῦς δὲ (καὶ γὰρ εἶχε καλὴν καρδίαν)
ὅλη φανεῖσα τῆς χαρᾶς καὶ τοῦ πότου,
ἤγερτο λοιπὸν τῆς καθέδρας ὀρθία,
καὶ πρὸς τὸ πρᾶγμα δῆθεν ἐσκευασμένη,
λαβοῦσα χειρέμακτρα χερσὶ ταῖς δύο,
ὄρχησιν ὠρχήσατο βακχικωτέραν,
φθόγγον κορύζης οὐ μακρὰν ποιουμένη
χαρᾶς τελεστὴν καὶ γέλωτος ἐργάτην.
Ἔσφαλε μέντοι θαμὰ συγκινουμένην
τὸ συνεχὲς λύγισμα τὴν Μαρυλλίδα·
πίπτει δὲ πάντως ἡ ταλαίπωρος κάτω
τῷ συμποδισμῷ τῶν σκελῶν τετραμμένη·
ὑψοῖ δὲ θᾶττον εἰς κεφαλὴν τοὺς πόδας,
καὶ τὴν κεφαλὴν ἀντερείδει τῇ κόνει·
τοῖς συμπόταις ἐπῆρτο καὶ πάλιν γέλως.
Οὕτως ἐκείνη συμπεσοῦσα, κειμένη,
ἡ γραῦς Μαρυλλὶς ἐξεπόρδησε τρίτον,
τῷ συμπηλιοῦν τῆς κεφαλῆς μὴ φέρειν.
Οὔκουν ἐπεξήγερτο· μὴ γὰρ ἰσχύειν
ἔφασκεν ἡ δύστηνος, καὶ προκειμένη
τὰς χεῖρας αὐτῆς ἀντεφήπλου τοῖς νέοις·
ἀλλ' ὁ Κλέανδρος συγκατασχεῖν οὐκ ἔχων,
ἐξυπτιάσας τῷ γέλωτι καὶ μόνος

Anus vero cui pectus erat vera simplicitate bonum, jam lætitia plena et flore sauciata liberi, a mensa surrexit, seque ad opus accingens, manibusque tenens mantile, saltationem saltavit plus æquo Bacchicam, turpi et rancidulo fragosis e naribus concrepans sono, quo gaudium pariebat ciebatque cachinnos. Sed inter frequentes membrorum quassationes dum circumvertitur, non usque recto stetit talo Maryllis, caditque misellula cruribus invicem impeditis, tolluntur que pedes, et pulveri caput adliditur. Convivæ risu cachinnabili concuti iterum; cum anus resupina jacens ter fissa nate pepedit. Nec surgebat; non posse enim aiebat; et jacens manus ambas juvenibus protendebat. At Cleander, cum se cohibere nequiret, risu solutus maximo, et ipse

resupinus animam trahebat anhelantem fere morituro similis. Quid interea Charicles? Medios inter cachinnos pulchram sibi nactus opportunitatem, Drosillæque cervivi innixus, bonam videbatur ridere Maryllidem, et labellis ferme conglutinatis osculorum satietatem non capiebat. At tandem surgens Cleander aniculam erexit veritus, puto, ex anteactis, ne quid illi excideret quod etiam pejus oleret, vel caput solo frangeret: tristem benigni hospitii mercedem! Quæ cum sedisset « O liberi » inquit « per Deos, dic-
» tis adverte meis animum. Ex quo pulcher
» Maryllidis filius Chramus abiit ad plures
» (hicque nunc octavus vertitur annus),
» non riseram, non saltaveram. Hoc quod
» fuit lætitiæ meæ bono consulite: nam et
» seni dulce est desipere in loco. » Cui hospites: « Per tuum, Maryllis optima,
» filium, nos suaviter excepisti multisque
» aliis, tum potu ciboque,

ὡς ἡμιθνὴς ἔκειτο πυκνὸν ἐμπνέων.
Τί γοῦν Χαρικλῆς; τῶν γελώτων ἐν μεσῳ
καλῆς ἀφορμῆς τῷ δοκεῖν δεδραγμένος,
ἐπεισκεκυφὼς τῷ Δροσίλλης αὐχένι,
ἐπεγγελάσων τῇ καλῇ Μαρυλλίδι,
οὐκ εἶχε πάντως τῶν φιλημάτων κόρον,
τῶν χειλέων ἐκεῖσε προσκολλωμένων.
Πλὴν ἀλλ' ἀναςὰς ὁ Κλέανδρος καὶ μόλις
ἔδειξε τὴν γραῦν συμπεσοῦσαν ὀρθίαν,
οἶμαι, πτοηθεὶς ἐκ προσυμβεβηκότων,
ὡς μήτε αὕτη ἐκφορήσοι καὶ κόπρους,
ἢ τὴν κεφαλὴν ἀλοηθῇ κειμένη,
μισθὸν λαβοῦσα τῶν φιλοξενημάτων.
Η καὶ συνιζήσασα τοῖς νέοις, ἔφη·
« Μὰ τοὺς θεοὺς, ὦ τέκνα, καὶ σκοπεῖτέ μοι·
» ἐξ οὗ καλὸς παῖς τῆς Μαρυλλίδος Χράμος
» τέθαπτο (καὶ γάρ ἐςιν ὄγδοος χρόνος),
» οὐκ ἦλθον εἰς γέλωτας, οὐκ ὠρχησάμην·
» ἡμῖν δὲ ταῦτα λοιπὸν ἐξ ἐμοῦ χάρις·
» παισὶ πλανηθείς φησι καὶ γὰρ τρέχει. »
» Μὰ τὸν σὸν υἱόν, » ἀντέφησαν οἱ ξένοι,
» ἤδυνας ἡμᾶς, ὦ Μαρυλλὶς κοσμία,
» ἄλλοις τε πολλοῖς καὶ τροφῇ σῇ καὶ πόσει·

» ὄρχησμα δ' οὖν σὸν καὶ τέχνη λυγισμάτων,
» καὶ σῶν ποδῶν κίνησις ἀφθονωτέρα,
» καὶ πυκνὸν ἀντίλοξον εὔστροφον τάχος,
» ὑπὲρ τροφὴν ἥδυνεν, ὑπὲρ τὴν πόσιν,
» ὑπὲρ τράπεζαν τὴν πολυτελεστάτην,
» ὑπὲρ φιάλην τὴν ὑπερχειλεστάτην.
» Καὶ καινὸν οὐδὲν μὲν ἐρῶν κατειργάσω·
» ἡμεῖς δὲ κἂν γέροντες ἦμεν τρισσάκις
» συμμετριάζειν οὐκ ἂν εἴχομεν φόβον,
» πάντως τὰ λῷστα τῶν θεῶν δωρουμένων. »
Τοιαῦτα πρὸς γραῦν εἶπον οἱ νεανίαι.
Καὶ τῆς τραπέζης ἐκ ποδῶν τεθειμένης,
ὁ μὲν Κλέανδρος εἰς τὸν ὕπνον ἐκλίθη,
ἡ γραῦς δὲ λοιπὸν ἔνθεν ἀνταγεκλίθη.

» saltatio vero tua, et motus e disciplina lepidissimi, et luxurians pedum tripudatio, » et vivida, obliquata, agilis mobilitas, plus » nobis quam cibus potusque placuere, plus » quam opipara mensa, pocula plus quam » plenissima. Et nihil quidem, ut es ætatis, » fecisti insolentius; nos autem, licet ter senes » essemus, tecum indulgere genio et jocu- » lari non vereremur, in tanta Deorum ad- » versus nos benignitate. » Talia aniculæ dixerunt juvenes; mensaque remota, Cleander somno se dedit, anusque pariter petivit lectulum.

DROSILLÆ ET CHARICLIS

RERUM

LIBER OCTAVUS.

Charicles igitur, data virgini dextra, properiter in hortulum cum ea ingressus est vicinum; paululumque progressus, contuebatur arbores, fructus, flores varios, quorum pulchritudine spectantium deliniebantur oculi. Mox sub myrto consedentes, mutuo se recrearunt conloquio. Et « Quis est, » Charicles ait « anima dulcis, Callidemus » iste loci hujus incola de quo loquebatur » anus? Num invida Fortuna sævo permisit » tyranno, ut vim crudeliter tibi inferens » formæ insultaret tuæ, hymeneoque tuo » potiretur? Num potuit aliquis ignem extin- » guere quo Chariclem mutuiter ardebas? » Ocelle cupitissime, nihil mihi celes.

ΤΩΝ

ΚΑΤΑ ΔΡΟΣΙΛΛΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

Ο ΓΟΥΝ Χαρικλῆς χεῖρα δοὺς τῇ παρθένῳ
εὐθὺς μετ αὐτῆς ἦλθεν εἰς τὸ κηπίον
ἐγγύθεν ὄν· προβὰς δὲ μικρὸν, ἱςόρει
τὰ δένδρα, τὴν ὀπώραν, ἄνθη ποικίλα,
καλόν τι χρῆμα τοὺς ὁρῶντας ἡδῦνον.
Καὶ δὴ συνιζήσαντες ὑπὸ μυῤῥίνην,
συνῆλθον ἄμφω πρὸς λόγου κοινωνίαν.
Καὶ « Τίς, φίλον μέλημα, » Χαρικλῆς ἔφη,
« ὃν εἶπε Καλλίδημον ἡ γραῦς ἐν τόπῳ;
» Μή σου κατηξίωτο βασκάνῳ τύχῃ
» κατατρυφῆσαι καλλονῆς καὶ τοῦ γάμου,
» δεινὸς βιαςὴς καὶ τύραννος ὠμόνους;
» Μή τις τὸ πῦρ ἔφθασεν ἐγκατασβέσαι
» ὃ πρὸς Χαρικλῆν ἔσχες ἐν ψυχῆς βάθει;
» Ω, ὦ ποθεινὸν ὄμμα, μὴ σύγκρυπτέ μοι.

» πρὸς γὰρ Χαρικλῆν ἐξερεῖς, οὐ πρὸς ξένον.»
» Πῶς εἶπας; Εὐφήμησον,» ἀνταπεκρίθη
πρὸς τὸν Χαρικλῆν ἡ Δροσίλλα παρθένος,
« ἄνερ Χαρίκλεις· ναὶ γὰρ εἶ σὺ καὶ μόνος
» ἀνὴρ ἐμός· καὶ τοῦτο μὴ ψευδῶς λόγος.
» Παρεσφάλη σοι τὸ φρονοῦν καὶ τὸ κρίνον
» ἐκ τῆς περισχούσης σε μακρᾶς ἀνίας·
» καὶ γὰρ παρακόπτουσι λῦπαι καὶ φρένας.
» Ἡ γὰρ, πάτερ Ζεῦ καὶ θεῶν γερουσία,
» εἰ μὴ Δροσίλλα μέχρι καὶ νῦν παρθένος,
» τὸ πρᾶγμα πάντως ἐξελέγξει καὶ μόνον.
» Οἷος λόγος, κάλλιστε Χαρίκλεις ἄνερ,
» τὸ τῶν ὀδόντων ἕρκος ἐξέφυγέ σου!
» Ἐρῶ δέ σοι· καὶ μάρτυς ἔστω τοῦ λόγου
» ὁ τοῦ Διὸς παῖς, ὃς πρὸ τῆς χθὲς καθ' ὕπνον
» δηλοῖ παραστὰς κειμένῃ κοιμωμένῃ
» τὴν σὴν κατασκήνωσιν εἰς Ξενοκράτους,
» οὗ προσαγῇ πεισθεῖσα (πῶς γὰρ οὐκ ἔδει;
» πολλῆς δὲ χαρᾶς!) τὴν γραῦν ταύτην ἠρόμην,
» εἴ τις παροικεῖ πανδοκεὺς τῷ χωρίῳ.
» Δηλωσάσῃ πάντως δὲ τὸν Ξενοκράτην,
» ταύτῃ πρὸς αὐτοῦ τοὺς δόμους συνειπόμην·
» εἰδυῖα δ' αὕτη καὶ πρὸ τῆς σῆς παρθένου

» Chariclem enim alloqueris, non hospitem.»
Cui Drosilla : « Quid ais? Bona verba, quæso, Charicles sponse mi. Tu enim unusque sponsus es mihi. Nec falsa loquor.
» Prudentiam tuam et judicandi solertiam
» diuturnus dolor imminuit. Mœror enim
» mentem ipsam lædit. Jupiter, Diique Deæque omnes, si Drosilla usquedum non intacta mansit virgoque, res indicabit. Optime conjux, quæ verba dentium septa
» prætervolarunt? Rem tibi narrabo; sitque mihi testis Jovis ille filius, qui pridie inter somnos quiescenti mihi adstitit,
» significavitque te apud Xenocratem esse,
» cujusque jussis parens (an potui non parere? et quanto cum gaudio!), ista ab anicula petii, num quis hic loci caupo habitaret : cumque mihi Xenocratem nominasset, illa duce ad domum ejus accessi.
» Maryllis, quæ jam ante noverat

» filium Xenocratis, Callidemum, illum » ad nos veniret rogavit, percontandi causa » de tuo huc adventu. Neque domum am- » bæ intravimus, sitque hoc tibi meæ ar- » gumentum pudicitiæ. Utinam tamen in- » gressa fuissem! Citius fuissem felix. » Callidemus, statim ut nos vidit, e do- » mo prodiit, mihique dulcem tuam præ- » sentiam invidens, negavit se vel nomen, » Charicles, scire tuum. Interea propius » adstans, me a capite ad pedes quasi me- » tiebatur, et hærens in obtutu spiritum fere » videbatur amisisse. » (Etenim si sæpe formositas vel senes movere potest, quanto magis vegetum virum juvenemque!) » Quas » incassum profuderit voces, quæ promis- » sa, et si vellem, Charicles, narrare non » possem. Qui enim? cum ne minimumqui- » dem aures præbuerim. Hoc unum novi » tantum (sit anus doloris mei testis), audito » te

» τὸν Καλλίδημον παῖδα τοῦ Ξενοκράτους,
» ἐλθεῖν πρὸς ἡμᾶς ἱκέτευε τὸν νέον,
» ὡς ἐκπυθέσθαι σὴν ἔλευσιν ἐνθάδε·
» οὐ γὰρ συνεισέδυμεν ἄμφω τὴν στέγην·
» καὶ τοῦτο δεῖγμα τῆς ἐμῆς εὐκοσμίας.
» Ὡς εἴγε πάντως εἰσέδυν τὴν οἰκίαν!
» καὶ χαρμονὴν εὕρηκα συντομωτέραν.
» Ὁ γὰρ προλεχθεὶς Καλλίδημος εὐθέως,
» ἡμᾶς ἰδὼν, ἔξεισι τοῦ δωματίου,
» καὶ μοι φθονήσας τῆς καλῆς παρουσίας,
» καὶ τὴν, Χαρίκλεις, κλῆσιν ἐξηρνεῖτό μοι·
» ἐγγὺς γὰρ ἑστὼς, ἐκ κεφαλῆς εἰς πόδας,
» γεωμετρῶν με, καὶ πυκνῶς μεταβλέπων,
» καὶ τὴν πνοὴν ἔοικεν ἐκλελοιπέναι. »
(Εἰ γὰρ τὸ κάλλος δεινόν ἐστιν ἑλκύσαι
καὶ τοὺς παρακμάσαντας ἄνδρας πολλάκις,
πόσῳ τὸν ἀκμάζοντα καὶ νεανίαν!)
» Οἵους μὲν οὖν προεῖπεν εἰς μάτην λόγους,
» ὅσας δὲ κατέλεξε τὰς ὑποσχέσεις,
» οὐκ ἔστιν εἰπεῖν, ὦ Χαρίκλεις, κἂν θέλω·
» καὶ πῶς γὰρ, οἷς προσέσχον οὐδὲ μετρίως;
» Ἓν οἶδα τοῦτο (μαρτὺς ἡ γραῦς τοῦ πάθους)
» ὡς σῆς ἐνωτισθεῖσα δακνοκαρδίου 61

» ἐλεύσεως ἄρνησιν (αἴ! αἴ! σοι Φθόνε!)
» αὐτὴν ἐῴκειν ἐκκοπῆναι καρδίαν,
» ψυχῆς ἐρευγὴν θᾶττον ἠναγκαζόμην,
» ἄψυχος ἦν, ἄναυδος, ἀνδριὰς ὅλη,
» καὶ τοὺς θεοὺς φεῦ! παγγενῶς ἐμεμφόμην,
» ῥαίνουσα πολλὰ ῥεῖθρα πολλῶν δακρύων,
» θρηνοῦσα πικρῶς ὑπὲρ ἀνδρὸς γνησίου,
» τοῦ τίνος; αἴ, αἴ! τοῦ καλοῦ Χαρικλέος. »
Τούτοις Χαρικλῆς ἀντεπεῖπε· « Σοὶ χάρις,
» ὦ τοῦ μεγίστου τῶν θεῶν Διὸς γόνε,
» τῷ Καλλιδήμου τὴν ἐπίφθονον σχέσιν
» ἣν πρὸς Δροσίλλαν ἔσχεν ἠφανικότι,
» καὶ καθοδηγήσαντι τὸν Χαρικλέα
» πρὸς τὸ γραὸς θέλημα τῆς Μαρυλλίδος!
» Εἰ μὴ γὰρ ἐφθόνησεν ἡμῖν τοῦ πόθου,
» οὐκ ἐκ θεῶν ἂν ἀντεπέσχε τὴν νόσον. »
Καὶ συγκεκυφὼς εἰς τὸν αὐτῆς αὐχένα,
τρίτον φιλήσας, θεὶς ὑπ' αὐτὴν ἀγκάλην,
τὰ τῶν γυναικῶν ἀντιπάσχειν ἠξίου,
» Ὁρᾷς « λέγων « τὰ δένδρα » (δείξας δακτύλου)
« ὅσας νεοττῶν καλιὰς ὑπεκφέρει·
» ἐκεῖ τελεῖται στρουθίων πάντως γάμος·
» παστὰς τὸ δένδρον, ἐστὶ νυμφὼν ὁ κλάδος·

» hic non adesse (o sævam Invidiam!), ipsum
» mihi cor avelli putavisse; animamque sta-
» tim eructare fere cogebar; et inanimis,
» sine voce, statuæque similis dirigui; et
» Deos Deasque omnes culpabam, effundens
» vastos lacrymarum rivos, amarumque ge-
» mens genuinum propter maritum: quem-
» nam? ha! pulchrum Chariclem! » Chari-
cles contra: « Grates solvendæ tibi, o Deo-
» rum maximo Jove nate, qui Callidemi
» zelotypiam qua Drosillam vexabat irri-
» tam fecisti, et Chariclem Maryllidi vo-
» lenti obtulisti! Ni enim nobis invide
» Amorem voluisset intereludere, non ipsi
» morbum ultores Dii immisissent. » Et in
virginis colla resupinus, ter basiavit, brachio-
que supposito, ut sibi esse viro liceret pos-
cebat dicens, intento ad arbores digito:
« Has cernis arbores, quot ferunt pullorum
» nidos! Hic celebrantur passerum nuptiæ.
» Arbor est thalamus, cubile ramus,

» folia lectulus; volitantesque circum hortu-
» lum volucres alta voce hymenæum ca-
» nunt. Permitte, Drosilla, tuas mihi nup-
» tias, quarum causa mille exantlavi labores,
» exilium, servitutem, captivitatem per-
» pessus sum, et gemitus et maria effudi
» lacrymarum. O cara vincula, et brachio-
» rum nexus, et digitorum concatenatio,
» compressio que manuum! Didici, Mars,
» pictis e tabulis, ipsum te nec indecore
» sustinuisse ferreis stringi vinculis arte
» fabricatis Vulcania, cum jucunde marinæ
» ad latus Veneris jaceres. O carum Drosilla
» nomen, ne me arceas. Amor, mihi fer
» opem, virgini adspirans, Amor, quem
» pedes alatum effugiet nemo. O mea lux,
» frigidius paulo calefacito pectus. Pulchri-
» tudo si fuerit ingrata, non detinet quem
» delectaverit, velut esca quæ caret hamo.
» Juno et Minerva virgo, te visa, Neutiquam,
» dixerunt, ut olim, sunt nobis ponendæ
» vestes: unum satis erit pastoris judicium.
» Utinam, amica, zephyrus fierem,

» κλίνην ἔχει δὲ τὰς ἑαυτοῦ φυλλάδας·
» ναὶ καὶ τὸν ὑμέναιον ἐξᾴδει μέγα
» τὰ πτηνὰ συῤῥέοντα τοῦ κήπου πέριξ.
» Δός μοι, Δροσίλλα, καὶ σὺ τὸν σαυτῆς γάμον,
» δι' ὃν διϋπήνεγκα μυρίους πόνους,
» δι' ὃν φυγὴν, δούλωσιν, αἰχμαλωσίαν,
» δι' ὃν στεναγμοὺς καὶ θαλάσσας δακρύων.
» Ὦ φίλα δεσμὰ, καὶ πλοκαὶ τῆς ἀγκάλης;
» καὶ δακτύλων ἕλιγμα καὶ χειρὸς στρέβλα!
» Ἔγνων, ἐπέγνων, Ἆρες, ἐκ τῶν πραγμάτων
» ὡς οὐδ' ἂν αὐτὸς ἀπρεπῶς ἐδυσφόρεις,
» ἁλοὺς σιδηρώμασιν, Ἡφαίστου πόνοις,
» τῇ ποντογενεῖ συγκαθεύδων ἀσμένως.
» Ἀλλ', ὦ φίλον πρόσφθεγμα, μὴ κώλυέ με.
» Ἔρως, συνέργει συμπνέων τῇ παρθένῳ,
» ὃν πτηνὸν οὐδεὶς φεύξει μὲν πεζὸς τρέχων.
» Ὦ φῶς ἐμὸν, ναὶ θάλπε καὶ τὴν καρδίαν.
» Ἄχαρι τέρπει κάλλος, ἀλλ' οὐ κατέχει,
» δελήτιον καθώσπερ ἀγκίστρου δίχα.
» Ἥρα δέ σε βλέπουσα καὶ Παλλὰς κόρη,
» Γυμνούμεθα, προσεῖπον, ὡς πρὶν, οὐκ ἔτι·
» ἀρκεῖ γὰρ ἡμῖν ποιμένος κρίσις μία.
» Εἰ δὲ ζέφυρος νῦν γενοίμην, Παρθένε,

» σὺ δ' εὐκραὲς βλέπουσα προσπνέοντά με,
» τὰ ςέρνα γυμνώσασα προσλάβοις ἔσω !
» Σὺ γοῦν, Σελήνη γλαυκοφεγγὴς, ὀλβία,
» ἄθρει, ποδήγει, φωταγώγει τὸν ξένον·
» Ἐνδυμίων ἔφλεξε καὶ σὴν καρδίαν.
» Ἔῤῥοιεν ἄργυρός τε καὶ λαμπρὸς λίθος,
» καὶ χρυσὸς αὐτὸς κατακόπτων καρδίας·
» φθείροιντο ταῦτα· πλοῦτος ἄλλος μυρίος,
» ὁ πρὸς Χρυσίλλας ἐγγυώμενος πάλαι.
» Σύ μοι τὰ πάντα ταῦτα, σῶφρον παρθένε·
» τὸ ξανθὸν αὐχεῖς· ἔῤῥε, χρυσίου βάρος·
» ἔχεις τὸ λευκόν· χαῖρε, μαργάρων χάρις·
» περιπλοκὴ σὴ, κόσμος ἐςὶν αὐχένος·
» ἐπὶ πτυχὶ σῶν χειλέων ἄνθραξ λίθος.
» Ὁ σὸς δὲ πάντως οὐκ ἀκόσμητος γάμος·
» ἀηδόνες γὰρ ἐγχορεύουσαι κύκλῳ
» ᾄδουσιν· ἀντᾴδουσιν αἱ χελιδόνες.
» Δὸς, Ὑμέναιος, ταῦτα, δός μοι τὸν γάμον.
» Ὁ ςρουθὸς οἶδε μίξιν εἶναι τὸν γάμον·
» ἡμεῖς δὲ ποθοῦντες τί οὐ μιγνύμεθα; »
Τοιαῦτα πολλὰ τῇ κόρῃ προσωμίλει·
ὁ γὰρ φιλῶν πᾶς τὴν ποθουμένην βλέπων,
καὶ νοῦν πρὸς αὐτὴν ἐξανατείνων ὅλον,

» et tu me leniter flantem nudato sinu re-» ciperes! Tu vero, luna cœrulea, luna » felix, ad me vultus flecte tuos, et præbe » lumen eunti: nam potuit Endymion tuum » incendere pectus. Abite in malam rem, » argentum, pretiosusque lapis, aurumque » ipsum animorum pernicies; abite in ma-» lam rem, abite et reliquæ immensæ opes » a Chrysilla olim promissæ. Tu mihi, » casta virgo, pro his omnibus bonis una » eris. Flava es, valeat auri pondus; candida, » valeat margaritarum splendor. Brachiorum » nexus tuorum cervici est ornatus meæ; » in commissura labellorum anthrax reful-» get lapis. Nec tuæ carent pompa nuptiæ: » lusciniarum circum te chorus cantillat, » respondentque hirundines. Hymenæe, hæc » mihi des; has des mihi nuptias. Passerculus » misceri corpora nuptias esse novit. Quid-» ni et nos miscemur amantes? » Talia multa puellæ garriebat. Etenim omnis amans, coram amata puella, menteque tota in dulci hærens adspectu,

nil cætera curat. Sed Drosilla, juvenem quamvis dilectum possidebat, pulchro tamen Charicli amplexus tantummodo est largita et mellita basia, his vocibus insuper additis : « O Charicles, o corculum ! a Drosilla voluptatem non obtinebis plenam. Ne te incassum fatiges ; ne frustra labores ; ne vim inferas : castam enim puellam indecore se gerere nefas. Te quidem amo : qui enim non amem ? quæ non amandi causa ? At, vilis ut meretrix, amissaque paterni materique generis memoria, virgineum non prodam decus. Confide vero providentiæ Deorum. Testor enim cœlum, tellurem, stellasque, me nulli unquam, nisi Charicli, nupturam. Qui enim possim, ipse reputa. Omnino autem in Deis spem repono, in Baccho ante alios, nempe me post aliquod tempus denuo esse visuram patrium solum, et Myrtionem caramque Hedypnoen, et æqualibus esse cum virginibus choros ducturam circa Bacchi altare, pulchrique potaturam undas Mellirrhoæ,

οὐδὲν τὰ λοιπὰ πάντα τοῦ βίου κρίνει.
Ἀλλ' ἡ Δροσίλλα τὸν καλὸν Χαρικλέα,
καί τοι κρατοῦσα καὶ φιλοῦσα τὸν νέον,
ἐδεξιοῦτο τῇ περιπλοκῇ μόνῃ
καὶ τῇ μελιχρότητι τῶν φιλημάτων.
Ἔφασκε καὶ γάρ· « ὦ Χαρίκλεις, καρδία,
» τοῦ συνδυασμοῦ τῆς Δροσίλλης οὐ τύχης.
» Μὴ κάμνε, μὴ βίαζε, μὴ μάτην πόνει·
» ἀσχημονεῖν γὰρ σωφρονοῦσαν οὐ θέμις.
» Φιλῶ μὲν οὖν σε· πῶς γὰρ οὔ; ποῖος λόγος;
» πλὴν, ὡς ἑταιρὶς, οὐ προδῶ τὸ παρθένον,
» γνώμης τε χωρὶς μητροπατρῴου γένους.
» Τῇ δὲ προνοίᾳ τῶν θεῶν θαῤῥῶν ἔσο·
» μαρτύρομαι γὰρ οὐρανὸν, γῆν, ἀστέρας,
» ὡς οὐκ ἂν ἄλλοις ἐκδοθείην εἰς γάμον,
» εἰ μὴ Χαρικλεῖ· πῶς γὰρ εἰκὸς ἐννόει.
» Ἔχω δὲ πάντως ἐν θεοῖς τὴν ἐλπίδα,
» μᾶλλον τεθαῤῥηκυῖα τῷ Διονύσῳ,
» ὡς πάτραν αὐτὴν ὄψομαι μετὰ χρόνον
» καὶ Μυρτίωνα καὶ φίλην Ἡδυπνόην,
» καὶ συγχορεύσω ταῖς ἐμαῖς συμπαρθένοις
» εἰς βωμὸν αὐτὸν τοῦ θεοῦ Διονύσου,
» πίω δὲ νᾶμα τοῦ καλοῦ Μελιῤῥόου,

» καί σοι, Χαρίκλεις, συμμετάσχω τοῦ γάμου.
» Ἀμήχανον γάρ, οὐκ ἀνάσχωμαι κλύειν
» μὴ σωφρονεῖν με μᾶλλον ἐν ξένοις τόποις. »
« Ὦ σώφρονος νοῦ καὶ καλῶν βουλευμάτων
» τῶν σῶν! » Χαρικλῆς πρὸς Δροσίλλαν ἀντέφη.
« Ὡς εὖ τὸ χρυσοῦν νῦν ἀπαγγέλλει ϛόμα!
» ὡς εὖ κελαδεῖ γλῶσσά σοι τρισολβία!
» Πλὴν ταῦτα χρηϛὰ, ταῦτα σεμνὰ, παρθένε,
» εἰ μὴ πρὸς αὐτὴν συγκινούμενοι Φθίαν
» παρεμποδισθείημεν αὖθις ἐκ Τύχης.
» Καταδρομάς τε ληϛρικὰς τὰς ἐν μέσῳ,
» καὶ Βαρβάρων μάχαιραν ὠμοκαρδίων,
» καὶ τῆς θαλάσσης ἀγριώτατον ϛόμα,
» οὐκ ἀγνοεῖν ἔοικας· οὐ γὰρ λανθάνει
» ἡμῖν τὰ συμπίπτοντα δεινὰ τῆς Τύχης·
» τί γοῦν, ἂν (ἀλλ' ἵλαθι, δυσμενὴς Τύχη,
» καὶ ϛῆσον ὀψὲ τὴν καθ' ἡμῶν μανίαν!)
» παρεμπεσεῖν μέλλοιμεν αὖθις εἰς νέαν
» πολύτροπον κάκωσιν αἰχμαλωσίας,
» ἢ καὶ διαζευχθῶμεν ἀλλήλων; λέγε. »
« Ἀλλ', ὦ Χαρίκλεις, » ἀντέλεξεν ἡ κόρη,
» οὐ τὴν Δροσίλλαν, ἀλλ' Ἔρωτος ἀγρίου
» ἔοικας ἔργον τερπνὸν ἐνϛερνικέναι. »

» tibique fore connubio, Charicles, junc-
» tam stabili. Nullo prorsus modo patiar
» de me dici posse me non in extera regio-
» ne fuisse castam. » Cui Charicles : « O
» mentem pudicam! o decora tua consilia!
» quam aureo locuta es ore! quam eleganti
» sonat lingua verborum murmure! Atta-
» men hæc tam proba consilia, utilia tantum
» esse futura videntur, si, cum Phthiam
» repetemus, Fortuna nos non impedit! Pi-
» ratarum incursus, et sævum Barbarorum en-
» sem, et os maris immanissimum te non jam
» ignorare puto. Novimus enim quid possit
» adversi ex Fortuna incidere. Quid ergo
» fiet, si (at, sæva, sis propitior, Fortuna,
» et seda tandem tuum in nos furorem!),
» si, inquam, varia captivitatis mala denuo
» fuerint perpetienda nobis, vel alter ab al-
» tera fuerit disjunctus? dic quæso. » Dro-
silla contra : « Charicles, non Drosillam
» tuam, sed Amoris impotentis dulce opus
» mente videris unice reputare. »

Hos inter utriusque sermones venit Cleander, et tenero cum gemitu « Hei mihi! » dixit : « Calligone mortua est. » Cui juvenes : « A quo, amice Cleander, hoc tibi triste » nuntium adlatum est? » — « A Gnathone » quodam mercatore qui adest e Barzo. » Illique rursus obortis lacrymis : « O calami- » tatem! » Et flere Cleander incipiens eos sibi adflentes habuit. Talia ergo miserrima multo cum singultu effudit, et forte non plura; nam hora vespertina longiorem non sinebat ejulationem : « Heu! diem hodier- » num, quo unus ergo mortalium miserri- » mus de tua factus fui morte certior, Cal- » ligone! Jam olim a tua fueram avulsus » societate, ut Parthis duram heu! perfidis » servitutem servirem. At spe mihi vita us- » que sustentabatur, nempe me rursus visu- » rum te manibus elapsam hosticis; et nunc » casta exultabam mente,

Οὕτως ἐκείνων συλλαλούντων τῶν δύο,
Κλέανδρος ἦλθε τρίτος ἠρέμα ςένων,
« Ὤμοι » λέγων « τέθνηκεν ἡ Καλλιγόνη ! »
Καὶ » Τίς, φίλε Κλέανδρε, τοῦτο μηνύει
» ἄγγελμα πικρόν; » ἀντέφησαν οἱ νέοι.
« Γνάθων τις ἐλθὼν ἐμπορικὸς Βαρζόθεν, »
ἀντεῖπεν ὁ Κλέανδρος. Ἀλλ' » Ὦ τοῦ πάθους! »
ἔφησαν αὖθις, δάκρυον πεπομφότες.
Καὶ γοῦν μονῳδεῖν ὁ Κλέανδρος ἠργμένος
συνδακρύοντας εἶχεν αὖθις τοὺς δύο.
Ἔφασκε τοίνυν ἐν ςεναγμῷ μυρίῳ
τοιαῦτα, καὶ πάνοικτα, καὶ τυχὸν πόσα,
ὡς οὐκ ἑώσης τῆς βαθείας ἑσπέρας
μακρὰν πρὸς αὐτοὺς ἐξερεῖν τραγῳδίαν·
« Ἰατατταιάξ τῆς παρούσης ἡμέρας,
» καθ' ἣν ἐγὼ, δείλαιος ἀνθρώπων μόνος,
» τὴν σὴν τελευτὴν μανθάνω, Καλλιγόνη!
» Νοσφίζομαι σοῦ τῆς συνοικίας παλαι,
» Πάρθων φανεὶς φεῦ! δοῦλος ἀγκυλοφρόνων·
» εἶχον δὲ μακρὰν ἐλπίδα ζωοτρόφον,
» ὡς χεῖρας ἐχθρῶν ἐκφυγοῦσαν καὶ μόνος
» σχοίην ποτ' αὖθις κατιδεῖν σε, παρθένε.
» Καὶ νῦν δὲ μᾶλλον σωφρόνως ἠγαλλόμην,

» ἐλεύθερον φῶς, ὦ Θεοί! λαχὼν, βλέπειν·
» εὑρεῖν γὰρ εἰς νοῦν εἶχον ἀνθυποςρέφων.
» Καὶ νῦν ἐμὸν φῶς ἐσκοτίσθης ἀθρόον.
» Καὶ πῶς ὁδεύω; πῶς καταντήσω μόνος;
» Οὐκ ὤφελον, γῆ, πῦρ, ὕδωρ, ἀὴρ, νέφος,
» καὶ πανδοχὲς σφαίρωμα, καὶ φῶς ἡλίου,
» ἐκ γαςρὸς ἐλθεῖν καὶ προσελθεῖν εἰς βίον!
» Εἰ δ' ἦν ἀνάγκη πᾶσι φῦναι μητρόθεν,
» ἐχρῆν δὲ αὐτὰς τὰς ἀποφράδας τύχας
» διαφθαρῆναι καὶ λυθῆναι πρὸς τέφραν,
» πρὶν ἂν λαβεῖν αἴσθησιν ἐντελεςέραν,
» καὶ πρὶν ἰδεῖν με τὴν παροῦσαν ἡμέραν.
» Αἴ! αἴ! ςένω θνήσκουσαν ὡς τρυγουμένην,
» ὄμφακα βότρυν ἢ παρήμερον ςάχυν
» ἐν ἀγρῷ τοῦ Χάρωνος ἐχθρῷ δακτύλῳ.
» Πῶς ὑπενέγκω τὴν ἀπευκταίαν τύχην,
» ἄλλης ἐπ' ἄλλῃ συμφορᾶς νεωτέρας
» κατας‍εφούσης τὴν κεφαλήν μου κύκλῳ;
» Χεῖρας μὲν ἐξέφυγες ἀνδρῶν βαρβάρων,
» οὐ μὴν δὲ καὶ Χάρωνος ἀνθρωποκτόνου.
» Ὄλωλεν ἐλπὶς μέχρι νῦν τρέφουσά με.
» Ὄλωλε καὶ Κλέανδρος ὡς Καλλιγόνη.
» Ὦ δυςυχὲς σὺ Βάρζος, ἀθλία πόλις,

» beneficio cujusdam Deorum libera luce
» tandem adspecta. Rebar enim, cum ad pa-
» trios lares rediissem, esse me inventurum
» Calligonen. At ecce lumen tu meum re-
» pente es extincta. Qui nunc incedam? Quo
» pergam desolatus? O tellus et ignis, et
» undæ, aerque, nimbique, et continentis-
» sima mundi sphæra, et solis jubar, uti-
» nam nunquam ex utero matris in hanc vi-
» tam prosiluissem! Quod si necesse fuit om-
» nino nasci me ex matre mea, oportuit (oh,
» funestas hasce fortunas!) perire me et in cine-
» res vanescere, antequam sensus fuissem nac-
» tus integriores, et istum hodiernum vidis-
» sem diem. Ah! mortuam virginem lugeo,
» velut acerbum racemulum aut immaturam
» spicam inimico Charontis digito decerptam.
» Qui potero tristissimum ferre casum, in-
» gruentibus in caput meum novis usque
» calamitatibus? Barbarorum effugisti ma-
» nus, sed non Charontis homicidæ. Periit
» spes qua huc usque sustentata vita fuit;
» periit Cleander ut Calligone sua. Oh,
» Barzum miseram! Oh, luctuosam urbem,

» in qua fuimus violenter disjuncti! Quam » satius fuit mori me dilecta cum virgine, » quam vix vivere, et ex imis suspiria ducere » medullis, atque in terris velut umbra ver- » sarier! Evanuit pristina spes omnis. Nec » te extremam cum traheres animam, allo- » cutus fui, Calligone, miraculum vitæ, vir- » go castissima. Oh! magna mentem meam » occupat admiratio, qui tantæ malorum » procellæ in miserationem et lenitatem flec- » tere non potuerunt sævientem in nos For- » tunam. » Dolentem Cleandrum nec siccis ipsi oculis juvenes solabantur dulci lepidorum illecebra sermonum. Ut vero tenebris atræ caliginis cuncta noctescebant, petiere simul Maryllidis domum; et paratæ accubuerunt mensæ, dum anicula, sedula ministra, rursus ciboque vinumque in medio adponebat. Aderat autem hospes, qui duplicem adtulerat nuntium, tristem Cleandro, Charicli gratum. Et injectis patinis manibus,

» καθ' ἣν διεζεύχθημεν ἀλλήλων βίᾳ!
» Ὡς κρεῖττον ἦν μοι συνθανεῖν τῇ παρθένῳ,
» ἢ ζῆν ἀμυδρῶς καὶ στενάζειν ἐκ βάθους,
» οἰκεῖν δὲ τὴν γῆν ὡς σκιὰ κινουμένη!
» Τὰ πάντα φροῦδα τῶν παλαιῶν ἐλπίδων.
» Οὐδὲ προσεῖπον ἐν πνοαῖς ταῖς ἐσχάταις,
» Καλλιγόνη, θάμβημα, σεμνὴ παρθένε.
» Ὦ! θαῦμα μακρὸν τὰς ἐμὰς ἔχει φρένας,
» πῶς αἱ τοσαῦται συμφοραὶ καταιγίδες
» εἰς οἶκτον οὐκ ἔκαμψαν οὐδ' εὐσπλαγχνίαν
» τὴν φεῦ! καθ' ἡμῶν δυσμεναίνουσαν Τύχην. »
Οὕτως ἐποιμώζοντα τὸν νεανίαν
συνδακρύοντες οἱ νέοι παρηγόρουν
ἐξ ἱλαρῶν ἴϋγγος ἡδέως λόγων.
Ὡς δ' ἦλθεν ἡ νὺξ, συντριβείσης ἡμέρας,
ὁμοῦ συνῆλθον εἰς τὸ τῆς Μαρυλλίδος
οἴκημα, καὶ τράπεζαν ἡτοιμασμένην
εὑρόντες, ἐκλίθησαν· ἡ δὲ γραῦς πάλιν
τροφὰς ἐτίθει καὶ τὸν οἶνον εἰς μέσον.
Ἦν οὖν παρ' αὐτοῖς ὁ ξένος συνιζάνων·
διπλῶν γὰρ ἦλθεν ἄγγελος μηνυμάτων,
πικροῦ Κλεάνδρῳ, καὶ Χαρικλεῖ γλυκέος.
Καὶ χεῖρας εἰς τὸν δεῖπνον ἐμβεβληκότες

τὴν γραῦν κατηνάγκαζον ἐγκλῖναι γόνυ·
αὕτη δὲ πρὸς τὸν λύχνον ἀσχολουμένη,
ἔφησε· « Τέκνα, σὺ Κλέανδρε καὶ Γνάθων,
» καὶ σὺ Χαρίκλεις, καὶ Δροσίλλα παρθένε,
» οἱ τέσσαρες χαίροντες ἐσθίοιτέ μοι·
» φιλῶ γὰρ ὑμᾶς, ὡς ἐκεῖνον τὸν Χραμοῦν,
» ὃν υἱὸν εἶχον, ὃς προήχθη μου μόνος,
» οὗ μικρὸν ἀπήλαυσα τῶν χαρισμάτων,
» καὶ μακρόν εἰμι δυσφορουμένη χρόνον.
» Οἱ τέσσαρες χαίροντες ἐσθίοιτέ μοι,
» οἱ τέσσαρες τὸν οἶνον ἐκροφεῖτέ μοι·
» τροφὴν ἐγὼ γὰρ τὴν ὑμῶ ἔχω θέαν. »
Ὡς δὲ Δροσίλλαν καὶ Χαρικλῆν ὁ Γνάθων
τεραστικῶς ἤκουσεν ἐκ Μαρυλλίδος,
ὥρμησεν εἰπεῖν, καὶ συνεστάλη πάλιν·
ἀλλὰ πρὸς αὐτοὺς ἐντρανέστερον βλέπων,
καὶ γνοὺς ἐκείνους, ἐν φιλαλήθῳ σχέσει,
λαβεῖν μεγίστας ἐκ δυοῖν ἀνδρῶν ἔχων,
ἔφη πρὸς αὐτοὺς τῆς χαρᾶς τὰς ἐγγύας·
» Ὦ! χαῖρε, Φράτωρ, ἀλλὰ καὶ σὺ Μυρτίων·
» τοὺς παῖδας ὑμῶν ζῶντας ἀντιμηνύσω. »
» Μεμιγμένον μέλιτι σὸν, Γνάθων, στόμα, »
εἰπόντες, ἠρώτησαν οὗτοι τὸν ξένον·

anum jusserunt ut secum accumberet. At illa ad lucernam labori intenta suo, « O liberi, » inquit, « Cleander Gnathoque, Charicles » Drosillaque puella, appositis læti utimini. » Vos enim amo, ut Chramum illum, quem » unicum mihi natum habui, cujus heu! » nimium breves potita fui amores, quem» que longo prosequor dolore. Læti omnes » comedite; læti omnes vinum bibite: as» pectus vester cibus sat mihi dulcis erit. » Auditis Gnathon ex ore Maryllidis Drosillæ et Chariclis nominibus, obstupuit, loquique gestiens, statim repressit impetum. Sed in illis defixo lumine, cum Drosillam et Chariclem ex mutuo ipsorum amore agnovisset, mercedem amplissimam a duobus sperans senibus accipere, dixit quod erat omen lætitiæ: « Oh! bono este animo, Phrator, tu» que Myrtio. Vivere vestros vobis liberos » nuntiabo. » — « Melle conditum est os, » Gnatho, tuum », dixerunt, hospitemque his interrogaverunt verbis:

» Ubinam vero adest Phrator? ubi Myrtion?
» et quo nosti modo nos ambo ex ipsis esse
» genitos? Benigne respondesis. » Contra
Gnathon conviva gratus: « Docebo vos
» quod nescitis, » inquit: « illi enim viri
» quos nominavi modo, hospites suavissimi,
» quosque vidi, et quibuscum sermones
» conserui, dudum venerunt Barzum urbem,
» magnum ferentes auri pondus; in medio-
» que populi consessu narraverunt Deum
» ipsos Barzum ex Phthia misisse, suos ubi
» reperirent liberos. Cum vos nusquam po-
» tuissent invenire, Nos equidem, aiebant,
» (nam quo cursum dirigere potis? qui erro-
» rum finis? ubi eorum occupare fugam?)
» nos equidem hic manebimus, Dei pro-
» missis fidentes. Forte aliquando ad hoc
» accedent oppidum. Qui enim nobis huc
» præivit, ipsos coget huc quoque venire,
» tandemque longæ finem facere viæ. Tu
» vero, amicorum optime, Barzi incola Gna-
» tho (namque me deprehenderant asinis
» clitellas imponentem meis, et ad pagum
» iter properantem),

» Ποῦ δὲ Φράτωρ πάρεςι καὶ ποῦ Μυρτίων;
» καὶ πῶς ἐκείνων παῖδας ἡμᾶς τοὺς δύο
» εἶναι διέγνως, ἀντιφάσκοις ἡδέως. »
» Ἐγὼ διδάξω τοὺς διηπορηκότας, »
ἔφησεν αὐτοῖς ὁ Γνάθων συνεσθίων·
« αὐτοὶ γὰρ ἄνδρες, οὓς δεδήλωκα, ξένοι,
» οὓς εἶδον, οἷς συνῆλθον εἰς ὁμιλίαν,
» πάλαι μετηνέχθησαν εἰς Βάρζον πόλιν,
» βαρὺν μὲν ὄγκον εἰσφέροντες χρυσίου,
» ποιούμενοι δὲ τῆς πολίχνης ἐν μέσῳ
» ἀπὸ Φθίας εἰς Βάρζον ἀπεςαλκέναι,
» καὶ τοὺς ἑαυτῶν παῖδας ἐξευρηκέναι.
» Ὡς γοῦν ἐφευρεῖν εἶχον ὑμᾶς οὐδέπω,
» Ἡμεῖς μὲν, εἶπον (ποῦ γὰρ ἄν τις ἐκδράμοι;
» καὶ ποῦ πλανηθῇ; ποῦ δ' ἐκείνους συλλάβῃ;)
» μενοῦμεν ὧδε τῷ Θεῷ πεπεισμένοι.
» Ἴσως καταλάβοιεν ὀψὲ τὴν πόλιν.
» Ὁ καθοδηγήσας γὰρ ἡμᾶς ἐνθάδε,
» ἐκεῖνος αὐτοὺς ἐκδραμεῖν ἀναγκάσει,
» καὶ λῆξιν ὀψὲ τῆς πλάνης εὑρηκέναι.
» Συ δ', ὦ φίλων ἄριςε, Βαρζίτα Γνάθων,
» (εἶδον γὰρ ὡς ἔσαττον αὐτὰς τὰς ὄνους·
» τὸ χωρίον φθάσαι δὲ κατηπειγόμην)

» ἔννοιαν αὐτῶν τῶν πλανωμένων ἔχε,
» εἴ πως ἐφευρεῖν σὺν θεοῖς κατισχύσεις·
» καὶ μηνύσας μνᾶς χρυσίου δέκα λάβῃς.
» Καὶ νῦν ὁμαρτήσασα χρηστή τις τύχη
» ὑμᾶς ἐπεγνώρισεν, ὡς ὁρᾶτέ, μοι. »
» Καλλιγόνη καὶ καλλίμορφος παρθένος
» τέθνηκεν· αἴ! αἴ! τῆς ἀπανθρώπου Τύχης! »
Κλέανδρος εἰπὼν πανύστατον λόγον,
καὶ τὴν πνοὴν ἀφῆκεν ἅμα τῷ λόγῳ·
σφάττειν γὰρ οἶδεν ὑπὲρ εὔθηκτον ξίφος
βαρεῖα συμπεσοῦσα λύπη πολλάκις.
Οὕτω Δροσίλλης καὶ Χαρικλέος μέσον
οὐκ ἠμέλησε δυσμένεια τῆς Τύχης
πολὺν φορυτὸν συμφορῶν συνεισφέρειν
καὶ λυπρὰ χρηστοῖς ἐμπαθῶν συμμιγνύειν.

» liberorum errantium suscipe curam, ipsos » si forte, diis bene juvantibus, possis repe» rire; quos si repertos nunciaveris, minas » auri decem accipies. Atque nunc in nostras » officiosa vias vos mihi, ut videtis, obtulit For» tuna fecitque notos. » Tum Cleander in hæc prorupit verba, novissima verba: « Mortua » est Calligone virgo pulcherrima. Heu! im» mitem Fortunam! » Hisque dictis animam expiravit. Sæpe enim gravis mœstitia acuto certius ense perimit. Adeo inimica Fortuna, Drosillam inter et Chariclem sævum ludere ludum pertinax, mœsta lætis usque miscebat.

DROSILLÆ ET CHARICLIS

RERUM

LIBER NONUS.

JAM vero mane erat, dieique jubar ex oriente totam late terram irradiabat; et ubertim flentes, ut est amicorum mos, cadaver luctu prosequuntur Græcorum ritu, coctis e carnibus melleque libamina injicientes. Ad hospitis sepulturam confluxerunt pastores omnes, omnesque agricolæ, virorum quisquis fuit tenerrimo corde, mulierum quæque fuit mente ad misericordiam procliviori: quos inter Maryllis luctui faciebat initium. Cleandrum luxerunt tellus et rupes et convallium rivi et umbrosi saltus. Potuit enim fatum Cleandri ad misericordiam vel dura movere saxa. Et Drosilla, virgo licet,

ΤΩΝ

ΚΑΤΑ ΔΡΟΣΙΛΛΑΝ ΚΑΙ ΧΑΡΙΚΛΕΑ

ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

ΗΔΗ μὲν ὄρθρος καὶ τὸ φῶς τῆς ἡμέρας
ηὔγαζε λαμπρῶς πανταχοῦ γῆς ἐξ ἕω·
σφοδρῶς δὲ δακρύσαντες, ὡς φίλων ἔθος,
τὸ σῶμα συγκλαίουσιν Ἑλλήνων νόμῳ,
χοὰς ἐπισπείσαντες ἐξ ὀπτημένων
κρεῶν συνάμφω καὶ ῥοὸς μελικράτου.
Ἐκεῖ συνῆλθε πᾶς νομεὺς, πᾶς ἀγρότης,
πᾶς συμπαθὴς ἄνθρωπος, εἰς ξένου τάφον,
καὶ τῶν γυναικῶν πᾶσα τληπαθεστέρα·
μεθ' ὧν Μαρυλλὶς καὶ προῆρχε τοῦ γόου.
Ἐκεῖνον ἐθρήνησε καὶ γῆ καὶ πέτρα,
καὶ κοιλάδων ῥοῦς καὶ βαθύσκιοι νάπαι·
καὶ γὰρ ἱκανὸς ἦν Κλέανδρος τῷ τότε
κάμψαι πρὸς οἶκτον καὶ πετρῶν σκληρὸν γένος.
Ἀλλ' ἡ Δροσίλλα, καίπερ οὖσα παρθένος,

πασῶν γυναικῶν μεῖζον ἐθρήνει τότε.
Ὡς γὰρ, θαλάσσης κυματωθείσης νότῳ,
ἡ κυμάτων σύῤῥοια κυλινδουμένη
ναῦν συσχεθεῖσαν τῇ φορᾷ περιτρέπει,
κἂν εὐτροπίς τίς ἐςιν, εὖ δ' ἔχει τέχνης,
ἄλλου μετ' ἄλλο συμφυῶς γεννωμένου,
σφὰς οὐδαμῶς ἔλυμα καὶ πλήθους μέτρον,
εἰ μή τίς ἐςιν ἐκ Κοροίβου μαινόλου
ὅμοιος υἱὸς καὶ πατρώζει τὰς φρένας,
πειρώμενος μάταιος εἰς οὐδὲν δέον
φορὰς ἀμέτρους εὐμετρῆσαι κυμάτων
ὅτε, πρὸς ὥρας τῆς ὀπωροφθισίας,
ὁ μὲν Ποσειδῶν ἐξεγείρει τὸν νότον,
νότος δὲ τὴν θάλασσαν ἀντικορθύει,
θάλασσα δ' αὐτὴ συνταράσσει τὰ σκάφη,
σκάφη δὲ πάντως τὰς πλεόντων καρδίας·
οὕτως ἀμέτρως ἐκχυθεῖσαι μυρίαι
ζάλαι ζεουσῶν συμφορῶν ἀνενδότων
τὰς τῆς Δροσίλλης ἀντεπέκλυζον φρένας,
ὡς ναῦν ἀνερμάτιςον ἰσχυρὸς κλύδων.
Ἔφασκεν οὖν κλαίουσα τὸν νεανίαν·
» Ὤμοι, Κλέανδρε! τίς βριαρόχειρ δαίμων,
» δαίμων ἀλάςωρ εἰς λυπρὰς ὥρας φέρων,

feminas alias ante omnes ciebat gemitus. Veluti enim, cum notus conturbat mare, confluentes turbine fluctus navem suo deprehensam impetu evertunt, licet valida sit carina, doctusque magister; alius enim post alium supervenit, adeo ut nemo possit eorum multitudinem in numerato ponere, ni quis forte fuerit Corœbi illius insani filius, patrem stultitia referens, vanò labore immensas undas fluctuum metiri conatus, nequicquam, quando circa vergentem autumnum Neptunus notum excitat, notusque mare e fundo commovet, mareque naves proturbat, navesque corda navigantium : sic furentes ærumnarum procellæ indesinenti immensoque agmine Drosillæ mentem inundabant, non secus ac puppim male saburratam horrida tempestas. Juvenem igitur lugens, « Hei mihi, Cleandre! » dixit. « Quis ille » est validus dæmon, funestus dæmon, tris» tes immitens tempestates,

» et in nos gravi concitatus ira? ex calamitatibus enim alias parit calamitates, et quæ nova est veterem usque superat. Quis hoc rei est, Fortuna? quis erit his modus? quis nostris finis fletibus? O dulcis Cleandre, socie captivitatis, conserve, laborum particeps, coætanee, qui nobiscum simul libertatem et amiseras et recuperaveras, abis ante tempus, pulchra immaturaque spica, nec patrem potuisti extremo alloqui spiritu! O rame Lesbiæ vegetæque arboris, vegetus ipse formosusque suavisque florebas, sed breve post tempus, velut a violenta flamma ad interitum usque exaruisti. Heri nobis aderas, nunc es inter alios; heri mecum loquebaris, hodie me non audis loquentem; heri sermonibus tuis mire delectabar, hodie tuo enecor silentio. Nulla ne finis erit nostris concessa malis? et quæ jam possunt esse ulteriora mala? O miserum, miserum Callistium! Filius tuus Cleander, amicusque noster,

» βαρὺς καθ' ἡμῶν ἐμπεσὼν καὶ μηνίσας!
» Ἐκ συμφορῶν γὰρ συμφορὰς ἄλλας ἄγει,
» ἀεὶ δὲ τὴν γραῦν ἡ νέα νικᾷν θέλει.
» Τί ταῦτα, Τύχη; Ποῖ ποτε ϛαῖεν τάδε;
» Τίς τῶν καθ' ἡμῶν λῆξίς ἐϛι δακρύων;
» Ὦ γλυκίων Κλέανδρε συμφυλακίτα,
» σύνδουλε, συνέριθε, συννεανία,
» συναιχμάλωτε, συνελεύθερε, ξένε,
» οἴχῃ πρὸ ὥρας χλωρὸς ὡραῖος ϛάχυς,
» οὐδὲ προσειπὼν τὸν σεαυτοῦ πατέρα
» ἐν τῷ παραπνεῖν τὰς πνοὰς τὰς ἐσχάτας!
» Ὦ κλὼν φανεὶς ὄρπηκος ἁδροῦ Λεσβίου,
» ἔφυς μὲν ἁδρὸς, καὶ καλὸς, καὶ γλυκίων,
» μικρὸν δὲ μικρὸν ὡς ἀπὸ φλογὸς ξένης
» ἐπὶ φθορὰν ἔμεινες ἐξηραμμένος.
» Χθὲς ἦς παρ' ἡμῖν, ἀλλὰ νῦν ἐν ἑτέροις·
» χθὲς ἦς λαλῶν μοι, σήμερον δὲ μὴ κλύων·
» συνωμίλεις χθὲς εἰς ἐμὴν εὐθυμίαν,
» ἄφωνος εἶ νῦν εἰς ἐμὴν ἀθυμίαν.
» Οὐκ ἔϛι δεινῶν τῶν καθ' ἡμῶν τις κόρος;
» καὶ ποῦ προβῶμεν τῶν κακῶν περαιτέρω;
» Ὦ δυϛυχὲς σὺ, δυϛυχὲς Καλλιγόνη!
» καὶ γὰρ τὸ τέκνον, ὁ Κλέανδρος, ὁ ξένος,

» ὡς πτηνὸς ἐκπτὰς πατρικῆς ἐξ ἀγκάλης·
» κεῖται πεσὼν οἴκτιστος ἐν ξένοις τόποις.
» Ὦ ποῦ τρέφεις, δείλαιε, χρηστὰς ἐλπίδας
» εὑρεῖν τὸν υἱὸν καὶ λαβεῖν ἀπὸ πλάνης,
» καὶ πῦρ ἀνάψαι καὶ δᾶδας γαμηλίους,
» στῆσαί τε λαμπρὰ καὶ χοροὺς καὶ παστάδα,
» καὶ συγχαρῆναι τῇ Κυδίππῃ τὰς φίλας
» τῷ τὸν καλὸν Κλέανδρον ἀπειληφέναι.
» Πλὴν ὀψὲ μαθὼν τὴν κατὰ φρένας πλάνην
» καὶ τοῦ λογισμοῦ τὴν ἀσύστατον ῥύμην,
» καὶ γνοὺς τὸν υἱὸν συμπεσεῖν ἐπὶ ξένης
» (διδάσκαλος γὰρ ὁ χρόνος τῶν πραγμάτων),
» καὶ πολλὰ κλαύσεις καὶ στενάξεις ἐκ βάθους,
» ῥαίνειν πολύῤῥουν ὄμβρον ἐκ τῶν ὀμμάτων
» ὑπὲρ τὸ πρὶν δάκρυον ἠναγκασμένος·
» πρώην γὰρ ἐλπὶς εἶρξεν ἴσως μετρία
» τὴν τῶν ῥεόντων δακρύων ἀμετρίαν·
» μικρὸν δὲ μικρὸν καὶ τακήσῃ τῷ χρόνῳ
» ἄνθραξι λύπης, ὡς χίων δι' ἡλίου.
» Αἴ! αἴ! συναιχμάλωτε, συνοδοιπόρε,
» εἰ γοῦν Χαρικλῆς ἐξ ἀποφράδος τύχης
» ἐμὲ Δροσίλλαν δυστυχῆ τρισαθλίαν
» ἀφαρπαγῆναι κινδυνεύσοι καὶ πάλιν

» ut avicula ex ulnis quæ evolavit paternis,
» jacet heu! regione in extera, dum forsan,
» miselle, jucundam foves spem, fore ut ali-
» quando natum reducem excipias, ignem-
» que et faces accendas hymenæi, choros-
» que instituas, et thalamum adornes, at-
» que Cydippæ gratulentur amicæ ob reper-
» tum pulchrum tandem Cleandrum. At
» cognita sero nati amentia, et animi im-
» potentem æstum, et inter exteros mortem
» (tempus enim nihil non aperit), multa
» gemes, et ex imo duces suspiria corde, et
» vastum imbrem effundes ex oculis quan-
» tus non prius manavit. Nam spei aliquid
» antea cohibuit rivos lacrymarum uberio-
» res. Jam jamque sensim cœco mœroris ob
» orbitudinem igne carpere, velut nix solis
» ad ardores. Heu! heu! vinculorum socie
» et itineris, si Charicli invida fortuna me
» rursus miseram, infortunatissimam eripiet,

» quis, quis jam grave levabit onus ægrimo-
» niæ? quis aderit mala sedaturus alloquio
» dulci, moribusque amœnissimis? Etenim
» lætitia omnis, salus, consolatio omnis
» mihi periit. Quæ aura levis, qui ros fri-
» gidus indefessum ignem altamque dolorum
» meorum nunquam quiescentium flammam
» restinguet? Malorum quis erit finis, qui
» terminus? Et nunc mens mea decumano
» malorum fluctu.... Oh! quis te, Charicles,
» solabitur, si quid Drosillæ tristius accide-
» rit? Nox enim profunda, profunda caligo
» et humus tenebricosa (o casus tristissi-
» mos!) pectus heu! Cleandri premunt.
» Oh! qui poteris Cydippæ matri esse glo-
» riæ, in extero solo sepultus? Qui illam
» coronis bene partis recreabis? Qui ven-
» trem decorabis tuum, unde in has venisti
» luminis oras? Qui te baculum reperiet pa-
» ter, cum anni senectutem ipsi adferent!
» Fax et lumen lætitiæ, gentisque splendor,
» extinctus, fractus, perditus, occultatus
» jaces. »

» τίς, τίς νεμεῖ κούφισμα τῆς λύπης βάρους;
» Ποῖος καταςαίη τις εἰς παῦλαν πόνων
» λόγῳ μελιχρῷ καὶ τρόπῳ σωτηρίῳ;
» Ἡ ψυχαγωγία γάρ, ἡ σωτηρία,
» ἡ πᾶσα παράκλησις ἐξόλωλέ μοι.
» Τίς αὖρα λεπτὴ καὶ δρόσος φλογοφθόρος
« ἀκάματον πῦρ καὶ διηρμένην φλόγα
» ἐμῶν παθῶν σβέσειεν οὐ κοιμωμένων;
» Στάσις δὲ τίς γένοιτο καὶ λῆξις πόνων;
» Καὶ νῦν ἐμὸς νοῦς ἐκ παθῶν τρικυμίας *
» Ὦ τίς, Χαρίκλεις, παραμυθήσαιτό σε,
» εἴ τι Δροσίλλα τῶν ἀπευκταίων πάθοι;
» βαθεῖα γὰρ νὺξ καὶ βαθέσπερος γνόφος
» καὶ χοῦς ἀμυδρὸς (ὢ κακῶν συγκυρμάτων!)
» ἔχουσι φεῦ! φεῦ! τὴν Κλεάνδρου καρδίαν.
» Ὦ! πῶς κλείσεις τὴν Κυδίππην μητέρα
» ἐν ἀλλοδαπῇ δυςυχῶς τεθαμμένος,
» καὶ τοῖς ςεφάνοις εὐφρανεῖς, καὶ δοξάσεις
» τὴν ὀσφὺν ἐξ ἧς εἰς τὸ φῶς ἦλθες τόδε,
» σχοίη δέ σε σκίμπωνα καὶ βακτηρίαν
» εἰς γῆρας ἐλθὼν ὁ σπορεὺς ἀπὸ χρόνων;
» Ὡς φῶς, Θρυαλλὶς χαρμονῆς, σέλας γένους,
» ἔσβης, ἐθραύσθης, ἐφθάρης, ἀπεκρύβης. »

Οὕτω Δροσίλλης δακρυούσης τὸν ξένον,
τῆς μὲν περιττῆς τῷ νεκρῷ τύρβης ἄλλης
καὶ τῶν ἀμέτρων δακρύων καὶ τοῦ γόου
ἔφησε μέσον. ἔμπορος ϛὰς ὁ ξένος·
« Εἰ γὰρ μεταξὺ χαρμονῆς παρεμπέσοι
» λυπρὸν τυχηρὸν δάκνον ἀλγῦνον φρένας,
» τὸν εὖ φρονοῦντα τῇ χαρᾷ χρὴ διδόναι·
» ὅταν μὲν οὖν ἄκρατόν ἐϛι τὸ θλίβον,
» οὐ μεμπτὸν εἴ τις οὐ κατάκρας δακρύει·
» εἰ συμμιγῇ δὲ χρηϛὰ ταῖς ἀλγηδόσι,
» τὸ κρεῖττον, οἶμαι, τῆς τύχης εὐεκτέον·
» ὑπερφέρει γὰρ δυσχερῆ τῶν κρειττόνων,
» πλείω τὰ λυπρὰ τῶν καλῶν τῶν ἐν βίῳ.
» Τῶν θλίψεων γοῦν εὖ καταφρονητέον,
» εἴ πού τι χρηϛὸν ἐν μέσῳ παρεμπέσοι
» ἀπροσδοκήτως ἐκ τύχης παρηγμένον.
» οὐ γὰρ τοσοῦτον αἱ κατ' ἐλπίδας τύχαι
» τοῖς εὖ παθεῖν θέλουσιν ἀνθρώποις ἄρα
» τὸ τερπνὸν εἰσφέρουσιν ἂν, ὡς εἰδόσιν
» αὐτοῖς ἐκείνοις προσδοκῶντες πρὸ χρόνων,
» ὅσον τὸ συμβὰν ἀγαθὸν παρ' ἐλπίδα
» ψυχὴν διογκοῖ καὶ πλατύνει καρδίαν,
» καὶ πάντα λυπρὰ τὰ προσυμβεβηκότα·

Dum sic Drosilla Cleandrum lugebat, in medio stans hospes ille mercator, « Desinite, » quæso, » inquit « querelarum quæ mortuum » nihil prorsus juvant, et fletus immodici » lamentationumque nimiarum. Etenim si » prosperos inter eventus acciderit quid » mœstius, quod animum mordeat et angat, » virum tamen sapientem decet a lætitia non » abstinere. Quod si boni sine ulla mixtione » nos premat dolor, nec culpandus si quis » non immodice ploret. Jam quando permis- » centur bona malis, melior fortuna præva- » leat. Plura enim sunt tristia lætis, et labo- » rum plena magis quam bonorum vita fuit » data mortalibus. Ergo ærumnæ sunt des- » piciendæ, si quid prosperi insperato nobis » Fortuna adtulerit. Nam sperata felicitas » felicibus hominum non tantum parit vo- » luptatis, quippe qui dudum illam præver- » terant expectatione, quantum quæ in- » sperata venit; animumque diffundit pec- » tusque relaxat, et anteriora omnia mala

» ex cogitationum recessu fugat penitusque » animi regionibus, et delens vulnerum ves- » tigia, ita ut alia sit læsæ partis facies ha- » bitusque novus, ægros restituit ex integro, » nec non genas floridis pingit coloribus, » vultumque ad egregiam pulchritudinem » informat. Desine igitur tandem longæ que- » rimoniæ. Redi ad te, ne funesti quid eve- » niat. Oportet enim generosius fortunæ » tolerare casus. » Illi igitur malis non cedere conabantur. At nondum dies erant elapsi duo, et jam incolis hujus loci Gnathon mercedes vendiderat omnes quas asportaverat; adsumptisque secum Charicle et Drosilla, viam carpsit celerrime qua ad Barzum itur. Jamque propinquabant portis, cum venerandos Charicles et Drosilla cernunt patres lapidi bene polito insidentes; et mirati sunt, simulque colore genas tinxit honesto pudor. Ast illos antevertens Gnathon senes salutavit,

» ἐκ τῶν νοητῶν ἐξελαύνει πυθμένων·
» καὶ τῶν ἀδήλων τοῦ λογισμοῦ χωρίων,
» καὶ τοὺς παθόντας εἰς ἀνάπλασιν φέρει,
» τῶν ἀλγυνόντων ἐξαλεῖφον τοὺς τύπους,
» ὡς εἶδος ἄλλο καὶ κατάστασιν νέαν,
» καὶ χρωματουργεῖ τοῦ προσώπου τὴν θέαν
» εἰς ἐντελῆ μόρφωσιν ὡραϊσμένην.
» Πλὴν λῆξον ὀψὲ τῶν μακρῶν ὀδυρμάτων·
» γενοῦ σεαυτῆς, μή τι φαῦλον ἐμπέσοι·
» χρὴ γὰρ τὰ συμπίπτοντα γενναίως φέρειν. »
Οὕτως ἐκεῖνοι τοῖς πόνοις ἐκαρτέρουν.
Οὔπω δὲ διτταὶ συμπαρῆλθον ἡμέραι
καὶ πάντας οὓς ἤνεγκε φόρτους ὁ Γνάθων
ἀπεμπόλησε τοῖς ἐποίκοις ἀγρόταις·
λαβὼν μετ' αὐτοῦ τὴν φίλην συζυγίαν,
ὥδευε πρὸς τὴν Βάρζον ἀπτέρῳ τάχει·
οὗ καὶ φθάσαντες τὴν πύλην τῆς εἰσόδου
ὁρῶσι τοὺς σφῶν ὀλβίους φυτοσπόρους
αὐτὸς Χαρικλῆς καὶ Δροσίλλα παρθένος
εἰς πέτραν, ἕδραν εὔξοον, καθημένους,
καὶ θάμβος ἔσχον καὶ καλῆς αἰδοῦς τύπον.
Ἀλλὰ προλαβὼν ὁ Γνάθων καὶ προφθάσας,
ἄμφω κατησπάσατο τοὺς γηραλέους,

καὶ τῶν παιδῶν ἄφιξιν αὐτοῖς μηνύσας
χρυσοῦ δέκα μνᾶς αὖθις ἀντιλαμβάνει.
Οἶδ' ἀλλ', ἐπεὶ προσέσχον αὐτοῖς τοῖς τέκνοις,
ὁποῖον ἔσχον γῆθος οὐκ ἔχω λέγειν,
ὡς εἶδον αὐτῶν τὴν καλὴν ξυνωρίδα
τὴν Βαρζικὴν γῆν συμπατοῦσαν ἀθρόον·
οἱ πρῶτα δακρύσαντες, ὡς γήρᾳ νόμος,
τὰς σφῶν κεφαλὰς κατεφίλουν ἀσμένως,
ἔχαιρον, ἤλγουν, εὐθύμουν, ἐδυσφόρουν,
ἠγαλλίων, ἔκλαιον, ἐκρότουν μέγα·
τὸ τῆς χαρᾶς δάκρυον ἔρρει πλησμίως,
τῆς χαρμονῆς ὁ θρῆνος ὑψοῦτο πλέον.
Πληθὺς δὲ πᾶσα Βαρζιτῶν καινῷ τρόπῳ,
ἐπεὶ τὸ συμβὰν ἐκ βοηδρόμων μάθοι,
ἐξῆλθον εὖ λιπόντες οἰκείους δόμους,
οἱ παῖδες, ἡ γραῦς, ὁ σφριγῶν, ὁ μεσῆλιξ **
ὃς οὐ μετρίας μέμψεως κατηξίου
τὸν αἴτιον Γνάθωνα τῶν ξενισμάτων
ὡς μὴ Δροσίλλαν ἀπέναντι καθίσοι
τῶν ἐκτακέντων ἐξ ἔρωτος ὀμμάτων,
καὶ Μυρτίωνα τὸν φύσαντα τὴν κόρην
ἐγγὺς παρ' αὐτοῦ τῆς καθέδρας τῷ τόπῳ,
ὅπως, τοσαύτης χαρμονῆς τελουμένης,

et liberorum adventu nuntiato, aureas minas decem pro læto accipit nuntio. Illorum vero quæ fuerit lætitia dicere nequeo, cum jam ipsos cernere liberos potuerunt, tam pulchros, Barzicumque solum cito pede calcantes. Effusis primum lacrymis, qui est senilis mos ætatulæ, liberorum suaviter osculari capita, gaudere, dolere, lætis nunc esse animis, nunc depressis, exultare, plorare, manus complodere. Ibant ubertim per ora lacrymæ quas exprimebat gaudium, et lætitiam vincere gemitus videbantur. Interim Barzitarum multitudo, re per cursores nota, e domibus effusa ruebat, pueri, anus, juvenes, mediæque hominis ætatis..... Gnathonem, apud quem fiebant epulæ, graviter objurgabat Charicles, quod non Drosillam sedere jussisset suos ante oculos amore diffluentes, et Myrtionem puellæ patrem sibi vicinum; videlicet, ut posset, in hoc solemni gaudio,

adversum amatam spectare. Invidebat poculo (quivis facile crediderit) labella puellæ tam pulchra tangenti; invidebatque vino, ori virginis facto propiori. Sic peractum est convivium; et nox nigris irrepens vestigiis, deprimensque convivarum supercilia, oculis dulcem infudit soporem. At mane pulcherrima Myrtionis vetuli filia accedens ad Calligones tumulum altero lacrymarum lavacro abluit. Nam fœminæ, quæ facile ad teneros affectus moventur, aliena etiam deflent mala et in faciles prorumpunt lacrymas. Non enim in suis tantum infortuniis dolere consueverunt, largosque effundere fletus, sed in alienis etiam, præsertim si quis e vita excesserit. Namque per longa annorum spatia tristem recolentes memoriam lacrymis usque parentantur. Drosilla igitur affectu percita misericordi,

ἀντιπροσωπῶν ἐμβλέψῃ τῇ παρθένῳ.
Ναὶ μὴν ἐπεφθόνει δὲ (πᾶς τις ἐκφράσοι)
καὶ τῷ κυπέλλῳ τηλικούτων χειλέων
ἄριστα θιγγάνοντι τῶν τῆς παρθένου·
ἐζηλοτύπει καὶ πρὸς οἴνου τὴν πόσιν,
ὡς εἰς Δροσίλλης πλησιάζοντος στόμα.
Οὕτω μὲν οὖν εἶχε τὰ τῆς πανδαισίας·
καὶ νὺξ μελάμπους ἐκχυθεῖσα τοῖς ξένοις,
κατεσπακυῖα τὴν στάσιν τῶν ὀφρύων,
τὸν νήδυμον σφῶν ἧσεν ὀφθαλμοῖς ὕπνον.
Ἀλλὰ πρὸς ὄρθρον ἡ καλὴ καὶ παγκάλη,
ἡ τοῦ γέροντος Μυρτίωνος θυγάτηρ,
καταλαβοῦσα τὴν σορὸν Καλλιγόνης,
ἔλουεν αὐτὴν ἄλλο λουτρὸν δακρύων.
Τὸ γὰρ γυναικῶν συμπαθέστατον φῦλον
ἑτοιμοπενθές ἐστι καὶ ξένοις πόνοις,
καὶ φιλόδακρυ γίνεται παραυτίκα·
οὐκ ἐν μόνῃ γὰρ συμφορῶν περιστάσει
φιλεῖ τὸ πενθεῖν καὶ τὸ μακρὸν δακρύειν,
καὶ μᾶλλον εἴ τις ἐκπεράσοι τὸν βίον·
διηνεκῶς γὰρ καὶ χρόνων περιδρόμοις
σῶζον κακῶν ἔννοιαν ἀμφιδακρύει.
Οὕτως ἐκείνη συμπαθῶς ἡ παρθένος
ἔκραζε κυπτάζουσα πρὸς Καλλιγόνην·
λαθοῦσα τοὺς τέσσαρας, ὡς κοιμωμένη,

Γνάθωνα, Μυρτίωνα τὸν φυτοσπόρον,
ναὶ μὴν Χαρικλῆν καὶ τὸν αὐτοῦ πατέρα,
ἔτυπτεν εἰς τὸ στέρνον, ἀνεκεκράγει
μετὰ στεναγμῶν καὶ μετ' ὄμβρου δακρύων·
« Ὦ πολλὰ βασκαίνουσα, δυσμενὴς Τύχη,
» οὐκ ἤρκεσάν σοι τὰ προσυμβεβηκότα
» ἀλγεινὰ πικρὰ τῇ Δροσίλλης καρδίᾳ·
» ἀλλὰ πρὸς αὐτοῖς καὶ τὸ λοιπὸν εἰσφέρεις.
» Σὺ μὲν θανατοῖς παρθένον Καλλιγόνην,
» Καλλιγόνη δὲ τὸν Κλέανδρον χωννύει·
» ὁ δὲ Κλέανδρος τοὺς ἐκείνου γνησίους
» οὐ συνθανατοῖ, τῇ δὲ τούτων καρδίᾳ
» λύπης τοσαύτης ἀντιπέμπει πικρίας.
» Θρηνῶ σε λοιπὸν, ὦ κόρη Καλλιγόνη,
» συμπαρθένε, κλαίω σε γῇ κεχωσμένην,
» ἀντὶ Κλεάνδρου τοῦ προεξῳχηκότος,
» τοῦ συξενιτεύσαντος ἡμῖν ὡς ξένοις·
» θρηνῶ σε μητρὸς καὶ πατρὸς στερουμένην,
» καὶ φεῦ! θανοῦσαν, ἀλλὰ μακρὰν πατρίδος,
» ἣν οὐ κατεῖδον, οὐ συνῆλθον εἰς λόγους,
» οὐκ εἰς χαρὰν ἔστερξα καὶ προσεπλάκην,
» ἐν συμφοραῖς οὐκ ἔσχον τῆς λύπης ἄκος.
» Ὡς εἴθε καὶ Κλέανδρον οὐκ εἶδον πάλαι,
» καὶ συμμετέσχον καὶ τροφῶν καὶ δακρύων!

clam Gnathone, Myrtioneque, et Charicle, patreque Chariclis, qui eam somno sepultam esse rebantur, in Calligones arcam demisso capite, pectus tundebat, clamabatque gemitus inter effusumque lacrymarum rorem : « O invida, o crudelis Fortuna, non tibi » fuere satis tot amaritudines quibus Drosillæ » cor satiasti; sed præteritis cumulum im» posuisti malis. Virginem perimis Calligo» nen, Calligone Cleandrum letho tradit; » Cleander vero amicos secum quidem non » infert tumulo, sed ipsorum pectora acer» bissimis pungit sollicitudinibus. Virgo, de» fleo te, Calligone, virginem; lugeo te de» fossam terra, cum te non possit lugere » Cleander jam ad plures profectus, nobis » olim longinqui comes per exteros itineris. » Lugeo te matre patreque carentem, et » heu ! procul a patria vita functam; te » quam videre et alloqui mihi non datum » est; quam in diebus lætis amare et oscu» lari non potui; quam in ærumnis non ha» bui doloris solatiolum. Atque utinam nec » Cleandrum vidissem unquam, nec fuissem » ipsi mensæ socia lacrymarumque !

» Nunc tamen interea meos benigna gemitus » accipe, quos trado tristes munera ad infe» rias. » Hæc fata, pudico gressu Gnathonis tecta repetivit. Gnathon, qui senes ambo cum liberis, primo die, exceperat hospitio, altero, nolentes jam diutius commorari, adiit, salutatosque amice osculatus, in patriam rursus tendentes demisit. Placidum stabat mare; silebant venti navibus inimici; nullæ volvebantur minæ fluctuum; et, nacto leni et commodissimo navigio, amata petierunt littora. Post decem dierum navigationem, tandem optato pedem fixerunt solo. Tum Phrator, Chariclis pater, Myrtionem ad suam invitabat domum; Myrtion vicissim Drosillæ pater, Phratorem vocabat ad se; et matres utriusque, Hedypnoe Crystalleque

» Σὺ δ' ἀλλὰ δέξαι τὴν ἐμὴν θρηνῳδίαν,
» ἣν ὡς χοὰς νῦν πενθικὰς ἔσπεισά σοι. »
Εἴρηκε ταῦτα, καὶ μετ' αἰδοῦς κοσμίας
Γνάθωνος αὖθις ἀντεισῆλθε τὴν ϛέγην·
ὅθεν, ξενίσας τοὺς γέροντας ὁ Γνάθων
σὺν τοῖς τέκνοις σφῶν, ἀμφὶ πρώτην ἡμέραν,
ἐκεῖ θέλοντας καρτερῆσαι μὴ πλέον,
τέλος προσελθὼν καὶ προσειπὼν ἀσμένως,
καὶ γνήσιον φίλημα δοὺς τοῖς ἀνδράσιν,
εἰς δευτέραν, ἔπεμψε πρὸς τὴν πατρίδα.
Τῆς οὖν θαλάσσης εὖ κατεϛορεσμένης,
οὐ πνεύματος πνέοντος ὠλεσισκάφου,
μὴ τῶν κυμάτων ἀμφικυλινδουμένων,
οὗτοι προσηνοῦς ἡμερωτάτου πλοίου
τυχόντες, ἐϛέλλοντο πρὸς τὴν φιλτάτην.
Ἐπεὶ δὲ, προσπλεύσαντες ἡμέρας δέκα,
φθάσαιεν ὀψὲ καὶ πρὸς αὐτὴν πατρίδα,
καὶ τοῖς ἐπευκτοῖς ἐμπατήσαιεν τόποις,
ὁ μὲν Χαρικλῆν ἀπογεννήσας Φράτωρ
μεθεῖλκε Μυρτίωνα πρὸς τὴν οἰκίαν·
ὁ δὲ Δροσίλλαν ἐκτοκεύσας Μυρτίων
ἀντιμεθεῖλκε τοῦτον ἀμφὶ τὸν δόμον·
αἱ μητέρες δὲ τοῦ νέου καὶ τῆς κόρης,
Ἡδυπνόη μὲν, ἀλλὰ δὴ καὶ Κρυϛάλη,

ἐπεὶ τὸ συμβὰν ἐκμάθοιεν, ἐνθέως
ἐκεῖ δραμοῦσαι, προσπλακεῖσαι τοῖς νέοις,
τοῖς τῆς χαρᾶς ἔλουον αὐτοὺς δακρύοις·
τὸ προσφιλὲς δὲ μητροπάτρῳον γένος,
ὁ πατριώτης ὄχλος, ὁ ξυμφυλέτης,
συνεκρότουν, ἔχαιρον ἀμφὶ τοὺς νέους,
ἠγαλλίων ὁποῖον, ἀλλὰ καὶ πόσον!
Οὗτοι μὲν οὕτως εἶχον· εἷς δέ τις φθάσας,
ὁ πρῶτος αὐτῶν, ἱερεὺς Διονύσου,
ἐπιτρέχει, τάχιστα κατειληφέναι
εἰς τὸν νεὼν ἅπαντας αὐτοὺς τοὺς ὄχλους,
ὡς ἂν συναρμόσαιτο τῷ Χαρικλέϊ
νυμφὴν Δροσίλλαν εἰς ὁμιλίαν γάμου.
Εἴρηκε ταῦτα, καὶ διπλοῦς παραυτίκα
κλάδους παρασχὼν ἀμπέλου τοῖς νυμφίοις,
εἰς τὸν νεὼν εἰσῆξεν ἅμα τοῖς ὄχλοις.
Τί γοῦν τὸ λοιπόν; συζυγεῖσα πρὸς γάμον
νύμφη Δροσίλλα τῷ Χαρικλεῖ νυμφίῳ,
καὶ πρὸς δόμους ἀχθεῖσα τῶν γεννητόρων
μετὰ στεφάνων καὶ κρότων καὶ κυμβάλων,
οὐχ ἑσπέρα μείνασα παρθένος κόρη
γυνὴ πρὸς ὄρθρον ἐξανέστη τῆς κλίνης.

ΤΕΛΟΣ.

re cognita, accurrentes, amplexatæque liberos, lætis ipsos rigabant lacrymis. Et cari ab utraque stirpe propinqui, civesque tribulesque, plaudebant, præque gaudio gestiebant circa juvenes, immensum quantum exsultantes. Interea, festino gradu advolat Bacchi sacerdos, vir primarius, jubetque ocyus ire ad templum turbam omnem populi, ut Charicli virginem Drosillam connubio jungeret. Dixit, et vitis ramusculis sponso utrique datis, ambos una cum populo ad templum ducit. Quid multa? Charicli in conjugium tradita, dein ad paternam deducta domum, inter coronarum jactus, plaususque, et cymbalorum multiplices tinnitus, Drosilla, quæ vesperi virgo erat, mulier mane surrexit e lectulo.

FINIS.

EX EROTICIS

NOVEM LIBRIS

SAPIENTIS VIRI MANASSIS

De rebus Aristandri et Callitheæ.

LIBER I.

ERRANT enim sæpissime oculorum orbes, longiore intervallo visus aciem hebetante, turbaque facile numeranda fit infinita: quod si et animo insederit timor, jam lapides ipsos, arboresque, et rerum genus anima carentum, pro militibus habent armis indutis.

Etenim res est alieni cupida miles, et gulosa, et injustitiæ dedita, ni quis represserit.

ΕΚ ΤΩΝ ΕΡΩΤΙΚΩΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Τῶν κατὰ Ἀρίστανδρον καὶ Καλλιθέαν.

ΛΟΓΟΣ Α.

ΠΛΑΝΩΝΤΑΙ γὰρ ἐπὶ πολὺ τῶν ὀφθαλμῶν τὰ κύκλα,
τῷ μήκει τῆς ὁράσεως ἀμβλυνομένης φύσει,
καὶ σμῆνος εὐαρίθμητον ἐξαίρουσιν εἰς μέγα·
ἂν τύχῃ δ' ἐγκαθήμενον ἐν τῇ ψυχῇ καὶ δέος,
τότε καὶ λίθους καὶ φυτὰ καὶ τὰς ἀψύχους φύσεις
ἄνδρας ἡγοῦνται μαχητὰς ὅπλα περικειμένους.

Καὶ γὰρ τοι φιλαλλότριον ὁ στρατιώτης χρῆμα
καὶ λίχνον, καὶ φιλάδικον, ἂν μή τις ἀναστέλλῃ.

Ψυχῇ γὰρ πάθος ἐμπεσὸν ἀπονεκροῖ καὶ ψύχει,
καὶ τὴν καρδίαν, δυσαχθὴς ὡς λίθος, συμπιέζει,
καὶ στόμα τὸ λαλέστατον εἰς ἀφωνίαν τρέπει.

Ὄντως ἡ λύπη παραιρεῖν οἶδε καὶ τὰς αἰσθήσεις.

Κάλλος γὰρ οὕτω θαλερὸν, τόσων χαρίτων πλῆρες,
οὐ μόνον θέλγειν ἄνθρωπον καὶ τυραννεῖν ἰσχύει,
ἀλλ', οἶμαι, καὶ βαρύθυμον λέαιναν σκυμνοτρόφον,
καὶ κάπρον χαυλιόδοντα, καὶ ταῦρον μυκητίαν·
βέλος ἐστὶν ἀσίδηρον, ἀλλ' εἰς καρδίαν πλήττει,
καὶ φαρμακεύει τὴν ψυχὴν, καὶ θανατοῖ τὸ βλέμμα.

Ἀλλ' ἦν οὐδὲν, ὡς ἔοικε, χεῖρον ἀνδρὸς Βαρβάρου
οὐ πῦρ, οὐχ ὕδωρ, οὐδὲ θὴρ, οὐδὲ θαλάττης χάσμα.

Ὄντως οὐδεὶς τὰς τοῦ θεοῦ διαδιδράσκει χόρας,
οὐ δυσσεβὴς, οὐ δύσορκος, οὐ φονευτὴς, οὐ γόης,
κἂν ἀετοῦ τὰς πτέρυγας ἐπωμασίους σχοίη,

Dolor enim animum si invaserit, gelu lethali necat, et cor, grave velut saxi pondus, opprimit, osque vel loquacissimum obmutescere cogit.

Revera mœstitia sensus ipsos imminuere solet.

Pulchritudo enim tam læte florens, totque referta leporibus, non hominem tantum delinire et subigere valet, sed, puto, et iratam quæ nutrit catulos leam, aprumque obliquo dente minacem, taurumque mugientem : sagitta est ferro nuda, sed quæ cor vulnerat, animum enecat veneno, oculorum vim extinguit.

At nihil Barbaro homine pejus esse videtur, non ignis, non aqua, non fera, non hiantia maris æquora.

Revera mortalium nemo Dei effugit oculos, non impius, non perjurus, non sicarius, non magus, aquilæ licet pennas humeris gerat,

licet ad deserta avolet loca, nebulisque se condat, licet lateat tenebris involutus, vel ipsam subeat terram : atque dira inopia illum latas per regiones insequiturque fugatque.

Decet enim militem vel se gerere fortiter, vel cadere, et non habere solem, terramque almam mortalium nutricem, lunamque, testes dedecoris. Splendidum militibus funeris ornamentum, si dimicantes strenue occubuerint in acie, non in lectulo.

Revera nihil est mortales inter stabile. Nihil enim vel ferociores de statu dejicere tantum valet, quantum pulchritudo florida, quantum virens venustatis honos. Pulchritudinis enim rivus, per oculorum meatum præcordia ad ultima subdit, emasculatque animum; et licet fervens æstuosa bile jecur invenerit, irarum ignes rore sedat et compescit, fitque salamandra extinguitque flammas; tunc alios ignes, flammas alias incendit,

κἂν πρὸς ἐρήμους πετασθῇ, κἂν εἰς νεφέλας φθάσῃ
κἂν ὑπὸ σκότον καλυφθῇ, κἂν ὑπὸ γῆν κρυβείη·
κακὴ δὲ βούβρωςις αὐτὸν ἐπὶ τὴν γῆν ἐλαύνει.

Ἢ γὰρ ἀνδραγαθίζεσθαι προσήκει ςρατιώτῃ,
ἢ πίπτειν, καὶ μὴ μάρτυρα τὸν ἥλιον αἰσχύνης
καὶ γῆν τὴν παντοθρέπτειραν καὶ τὴν σελήνην ἔχειν.
Τοῦτο καλὸν ἐντάφιον ἄνδρασι ςρατιώταις,
ἐν μάχαις ἀριςεύοντας θνήσκειν, οὐκ ἐπὶ κλίνης.

Ὄντως οὐδέν τι βέβαιόν ἐςιν ἐν τοῖς ἀνθρώποις·
οὐδὲν γὰρ οὕτω πέφυκε δουλοῦν καὶ θρασυσπλάγχνους,
ὡς κῆπος ὡραιότητος, ὡς εὐπρεπείας ἄλσος·
ὁ γὰρ τοῦ κάλλους ὀχετὸς δι' ὀφθαλμῶν εἰσρέων
εἰς τὴν καρδίαν κάτεισι, καὶ τὴν ψυχὴν θηλύνει,
κἂν εὕρῃ κάμινον θυμοῦ καὶ πῦρ ὀργῆς παφλάζον,
δροσίζει τὸ θυμούμενον καὶ τὴν ὀργὴν μαραίνει,
καὶ σαλαμάνδρα γίνεται καὶ σβέννυσι τὴν φλόγα;
ἄλλην δὲ πάλιν κάμινον καὶ πῦρ ὑπανακαίει,

ὧν Ἔρωτες καμινευταὶ καὶ φυσητὴρ ὁ Πόθος,
ἐξ ἀφανῶν ἀνάπτοντες τὴν φλόγα πυρεκβόλων.

Οὐδὲν γὰρ ἀναιδέστερον γαστρός ἐστι θηρίον,
ἥτις αὐτῆς μιμνήσκεσθαι πάντας ἐπαναγκάζει,
κἂν συμφοραῖς, κἂν πειρασμοῖς, κἂν πικρασμοῖς.

Οἶδε γὰρ ἀναψυχῆς ψεκάδας ἐπιστάζειν
διηγηθὲν ἀλλότριον τὸ δυσπραγοῦντι πάθος.

Ἔστι μὲν γὰρ καὶ φίλοικτον ἄνθρωπος φύσει ζῶον·
οὐ γὰρ μελανοκάρδιος ἔφυσε τοῦτον πέτρα,
οὐ δρῦς, ἀλλ' οὐδὲ σίδηρος, ἀλλ' οὐδὲ θὴρ φριξαύχην.
Εἰ δέ τινες ὁμογενεῖς ἐντύχοιεν ἀλλήλοις
συμφυλακῖται, σύμμοχθοι, συναιχμαλωτισθέντες,
κοινοῦνται καὶ τὰς συμφορὰς καὶ τοὺς ἀλλήλων πόνους,
συστένουσι, συγκλαίουσιν, ἀλλήλοις συμπενθοῦσιν.

Ἦλιξ γὰρ ἥλικα, φασί, τέρπει, καὶ κόρη κόρην,
καὶ γραῦς τρικόρωνος τὴν γραῦν, καὶ πέμπελον ὁ γέρων.

---

quibus dant alimenta Amores, follium animas Cupido, ex invisibilibus ignem elicientes silicibus.

Nullum est etenim ventre impudentius animal, qui omnes sui meminisse cogit, vel ipsas inter calamitates, atque ærumnas, et vitæ amaritudines.

Solet enim solatii rorem animo instillare dolenti alienæ narratio calamitatis.

Est enim homo animal a natura ad misericordiam comparatum; quippe quem non generavit nigra silex, non quercus, neque ferrum, ferave immanis. Si vero sese mutuiter offenderint viri congeneres, carcerisque et vinculorum ærumnarumque socii, jam fit inter illos calamitatum laborumque communio; simul dolent, gemuntque simul, invicem conlacrymantes.

AEqualis enim, ut est in proverbio, æquali delectatur, et virgine virgo, et anu anus longævissima, et sene senex decrepito.

Non in natantum duntaxat genus et volantum imperium est Amoris, nec in animalia quæ per æthera secant iter, aut solo infigunt pedes; sed et in saxa arboresque ipsas ejus est imperium, et illis etiam rebus immittit tela, quarum est genus dissimile. Fluvium etiam dulcem per Tetyos arva currere cogit Amor. Nam clarus in Arethusam flammatur Alpheus, Arethusam Siciliæ fontem, et mare trajicit, atque scindit æquor, et levis per amaras inequitans undas, salsisque illæsus vadis, optatæ fluctus intemeratos osculaque dulcia præbet Naidi, quæ non putet pelago venisse maritum.

Ἔρως οὐ μόνον ἐν πλωτοῖς καὶ πτερωτοῖς ἰσχύει,
οὐκ ἐν ἀεροβάμοσιν, οὐδ' ἐν τοῖς χερσοπόροις,
ἀλλὰ καὶ λίθων καὶ φυτῶν αὐτῶν κατακαυχᾶται,
καὶ βέλος ἐπαφίησι καὶ τοῖς ἀνομοφύλοις·
Ἔρως ποιεῖ καὶ ποταμὸν γλυκὺν θαλασσοβάτην.
Ὁ γοῦν κλεινὸς Ἀλφειὸς ἐρᾷ τῆς Ἀρεθούσης
(πηγὴ δ' ἔστιν Ἀρέθουσα κατὰ τὴν Σικελίαν),
καὶ διαβαίνει θάλασσαν καὶ δίεισι τὸ κῦμα,
καὶ κοῦφος ἐποχούμενος ἐν τοῖς τῆς ἅλμης νώτοις
σώζει τὸ ῥεῖθρον ἀμιγὲς ἀπὸ τῆς ἁλμυρίας,
καὶ παραπέμπει πότιμον ἐπὶ τὴν ἐρωμένην,
τηρῶν νυμφίον ἑαυτὸν γλυκύρρουν ποντοβάτην.

ΕΚ ΤΩΝ ΕΡΩΤΙΚΩΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Τῶν κατὰ Ἀρίστανδρον καὶ Καλλιθέαν.

ΛΟΓΟΣ Β.

Χρυσῷ τῷ καὶ θεοὺς μαλάσσειν δυναμένῳ,
καὶ τῶν φαρμάκων τῶν ἐν γῇ πάντων δραστικωτέρῳ.

Τοῖς παροργίοις Ἔρωτος ὑπηρετεῖν τὸν οἶνον·
ἐντεῦθεν οἶνος λέγεται γάλα τῆς Ἀφροδίτης·
καὶ δύο δυσμαχώτατα τῶν ἐπὶ γῆς πραγμάτων,
υἱὸς Διὸς Διόνυσος, παῖς Ἀφροδίτης Ἔρως.

Οὐδὲν ἂν ἦν μωρότερον γραμματικῶν ἐν βίῳ,
ἂν γῆν μὴ περιέπεχον τῶν ἰατρῶν οἱ παῖδες.

EX EROTICIS

NOVEM LIBRIS

SAPIENTIS VIRI MANASSIS

De rebus Aristandri et Callitheæ.

LIBER II.

. . . . Auro ipsos quod potest flectere deos, et terrestribus cunctis magis efficaci remediis.

Mysteriis enim Amoris inservit vinum; inde vinum dicitur lac Veneris: hique sunt duo mortalibus hostes ægre vincendi, natus Jove Bacchus, Venere satus Amor.

Nihil esset in vita grammaticis insulsius, ni terram percurrerent medicorum filii.

Invidia malorum radix : oh ! pestem malam!

Revera malos semper rotæ modo Justitia circumagit, et ubique stimulo pungit, et exagitat, asilus ceu taurum mugientem, œstrus ut aut muscæ.

Apposita carne, nemo acrem vescitur cepam, aut rapa vorabit Pythagoricam simulans viam.

Dirum atque perniciosum proditor animus : serpentem dixeris cubilis participem, scorpium domi incolam tuæ, leænam accubantem tibi, tibi adsidentem tigridem, pardalim convivantem, concœnantem basiliscum. Quod si intus pestem alas, et proditorem foveas, ferrea quamvis sint mœnia adamantinæque turres, arx erit facile expugnabilis urbsque indefensa; custodes non custodient, et frustra sudabitur. Atque jam quis vitabit periculum, quis aufugiet gladium, si lingua convitiatrix, præceps, maledica, inveniat statim fidem, vel in rebus nullo comprobatis argumento; si faciles præbeant judices accusatoribus aures,

Φθόνος ἡ ῥίζα τῶν κακῶν, τὸ πονηρὸν θηρίον.

Ὄντως ἀεὶ τροχηλατεῖ τοὺς πονηροὺς ἡ Δίκη,
καὶ πανταχόθεν βουτυπεῖ καὶ πάντοθεν ἐλαύνει,
ὡς οἶστρος ταῦρον μυκητὴν, ὡς βούβρωστις, ὡς μύαι.

Οὐδεὶς παρόντος κρέατος θύμον δριμὺν ἐσθίει,
κἂν γογγυλίδας τρέφοιτο δοκῶν Πυθαγορίζειν.

Δεινὸν καὶ πονηρὸν χρῆμα ψυχὴ προδότις·
ὄφις ἐστὶ συμπάρευνος, ἐγκάτοικος σκορπίος,
συγκοιμωμένη λέαινα, συγκαθημένη τίγρις,
πάρδαλις ὁμοτράπεζος, σύνδειπνος βασιλίσκος.
Ἂν ἔνδον ἔχῃς τὸ κακὸν, ἂν τὸν προδότην θάλπῃς,
κἂν τεῖχος ἔχῃς σιδηροῦν, κἂν καταχάλκους πύργους,
εὐάλωτον τὸ φρούριον, ἀφύλακτος ἡ πόλις,
οἱ φύλακες οὐ φύλακες, οἱ κόποι κόποι μόνον.
Καὶ τίς ἀλύξει κίνδυνον, καὶ τίς τὸ ξίφος φύγῃ,
ἂν γλῶσσα φιλολοίδορος, πέρπερος, συκοφάντης,
αὐτόπιστος νομίζοιτο κἀπὶ τοῖς ἀνελέγκτοις,
ἂν δοῖεν οἱ δικάζοντες ὦτα τοῖς κατηγόροις,

καὶ πάντα παραδέχοιντο μὴ σὺν δοκιμασίᾳ,
καθάπερ ἀπὸ τρίποδος θεσπιῳδοῦ μαντείου,
οὐ φθάνοιεν ἐκτέμνοντες καὶ τραχηλοκοποῦντες,
δειροτομοῦντες, ὡς ἀρνοὺς ἐπὶ κρεωπολίου,
ὅλας ἀγέλας δημοτῶν, ἀγροίκων, οὐκ ἀγροίκων,
τρισευγενῶν, οὐκ εὐγενῶν, ἀχλαίνων, λυπροβίων.

Ἄνδρες, δεινὸν καὶ πονηρὸν ὁ συκοφάντης χρῆμα·
οὗτος καὶ πόλεις ὄλλυσι καὶ δόμους ἀνατρέπει,
ἐπανιστᾷ τῇ θυγατρὶ μητέρα πολεμίαν
καὶ τῷ πατρὶ τοὺς ἐξ αὐτοῦ ταυτογενεῖς συγγόνους·
ὄφις ἐστὶ θανάσιμον φάρμακον ἀποπτύων,
ἰὸν ἀπερευγόμενος δεινὸν ἀνθρωποφόντην,
φύσαλος θαλασσόβιος, πυρίπνοος κατώβλεψ,
καὶ μαρτιχόρας, Ἰνδικὸν ἀνθρωποφάφον ζῶον,
ὡς ἐκ νευρᾶς τοῦ στόματος ἀποτοξεύων βέλη,
καὶ βάλλων εὐστοχώτατα, κατὰ τοὺς ἐκηβόλους,
λόγους πικροὺς θυμοδακεῖς, πλήττοντας ὑπὲρ βέλη·
ῥίζα πικρὰ, φθοροποιὸς, ἐλλεβορώδης ῥίζα,
ἀκόνιτον φυόμενον ἐν νήσοις, ἐν ἠπείροις,
ἐκ σιαλώδεος χυμοῦ καρδίας μιαιφόνου·
ἄγριος δράκων, δαφοινὸς ἡπατοφάγος λέων,

et cuncta absque exploratione admittant, velut oracula fatidico edita tripode; si currant per cædes, capita dementes cervicibus, et cædentes, agnos velut in macello, totos greges civium, agrestium et non agrestium, generosissimorum et ignobilium, egenorum atque miserrimorum hominum.

Viri, dirum atque perniciosum est homo maledicus. Et urbes perdit, subvertitque domos; natæ matrem inimicat, et patri natos congeneres: serpens est qui letale vomit venenum, virusque eructat dirum et mortiferum; physalus marinus, flammasque spirans catobleps, et Indicus martichoras qui mandit homines: ex ore quasi ex arcu sagittas emittit, et, periti velut jaculatores, jacit, nunquam aberrans a scopo, amara verba, mordacia, et telis ipsis acutiora: radix amara, letifera, radix helleboracea; aconitum in insulis, in continenti natum, ex spumea cordis sanguinei saliva; draco sævus; cruentus et viscerum vorator leo;

vultúr non fodiens oculos, nec in viscera penetrans, sed cor in ipsum. Quod si igitur civis sit tibi calumniator, non effugies illius venenum, non vitabis aculeum, in aquilam quamvis conversus latis aèra tranantem alis, in altum avolaris, cœli convexa petens. Ex ejus lingua manat virus; cor tumet rabie. Peritus est jaculator, et sagittas venenatas ad nubes usque certo mittit conjectu. Jacula habet non ex ære facta, non e ferro sagittas, non e cornu arcus; nervi non sunt bubuli: et sic te occupat, perimitque, ipsa vel inter astra, ipso vel in summo cœli clypeo. Invidia bonorum inimica, calumniæ mater est; calumnia invidiæ tetræ filia, matre amara filia amarior, dira velut e vipera dirior tigroleo.

Revera qui foveam effodit alterum ut necet, in profundas ipse, ipse cadit foveas, in foveam Tartari inevitabilem.

γὺψ οὐκ ὀρύττων ὀφθαλμοὺς, οὐδ' εἰς τὸ δέρτρον δύνων,
ἀλλ' εἰς καρδίαν μέσην.
Ἂν συμπολίτην οὖν αὐτὸν τὸν συκοφάντην ἔχῃς,
σὺ φεύξῃ τούτου τὸν ἰὸν, τὸ κέντρον οὐκ ἀλύξεις,
κἂν ὑψιβάμων αἰετὸς μεγαλοπτέρυξ γένῃ,
κἂν πετασθῇς μετάρσιος, κἂν εἰς αἰθέρα φύγῃς.
Ἡ γλῶσσα βλύζει τὸν ἰὸν, τὴν λύσσαν ἡ καρδία·
τοξότης εὔστοχός ἐστι, φαρμάσσει καὶ τὰ βέλη·
εἰς οὐρανὸν τὸ βέλεμνον φθάνει καὶ τραυματίζει.
Τούτου τὸ βέλος ἄχαλκον, ἀσίδηρον τὸ βλῆμα,
τὸ τόξον οὐκ ἐκ κέρατος, οὐδ' ἡ νευρὰ βοεία,
καὶ φθάνει σε καὶ θανατοῖ, κἂν τῶν ἀστέρων ψαύσῃς,
κἂν ἕως ὕψους πετασθῇς τῆς σφαίρας τῆς ἐνάστρου.
Ὁ φθόνος ὁ μισόκαλος πατὴρ συκοφαντίας,
συκοφαντία κύημα φθόνου τοῦ βαρυζήλου,
πατρὸς πικροῦ πικρότερον καὶ γέννημα καὶ θρέμμα,
ὡς ἐξ ἐχίδνης θυμικῆς ῥίγιστος τιγρολέων.

Ὄντως ὁ βόθρον τοῖς ἐγγὺς ὑπονομεύων φόνου
αὐτὸς αὐτὸς ἐς σήραγγας ἐμπίπτει βαθυχάους,
ἐς σήραγγα τὴν ἄφυκτον τὴν ὑποταρταρίαν.

Οὕτως οὐδὲν κακούργημα μέχρι παντὸς λανθάνει
οὐ τὰς θεοῦ παντιδερκεῖς καὶ πανοπτρίας κόρας,
ἀλλ' οὐδ' ἀνθρώπων τοὺς πολλοὺς, ἵνα μὴ λέγω πάντας.

Ἀλλὰ κακοὺς, ὡς ἔοικε, καὶ θάνατος φοβεῖται,
καὶ δραπετεύει τοὺς σκαιοὺς καὶ κακοτρόπους τρέμει.

Ζῶόν ἐςι Παιονικὸν, κλῆσις τῷ ζώῳ μόνωψ,
παρεμφερὲς εἰς μέγεθος ταύρῳ μεγαλοςέρνῳ.
Τοῦτο σιτεῖται τὰς πικρὰς καὶ θανασίμους ῥίζας·
κἂν ἐπακτὴρ διώκῃ τις αὐτὸ θηριοθήρας,
πυρόεν ἀποπάρδημα πέμπει δριμὺ φλογῶδες,
κἂν ψαύσῃ μόνον ῥαντισμὸς ἐκείνου τοῦ σκυβάλου
κἂν σκυλακίου, κἂν ἀνδρὸς, κἄν τινος ἄλλου ζώου,
εὐθὺς εὐθὺς καὶ θανατοῖ, καὶ παράχρημα φθείρει.

Ἀλλὰ κακοὺς, ὡς ἔοικεν, οἴδασι καὶ ςοιχεῖα,
καὶ πῦρ, καὶ γῆ, καὶ ποταμοὶ, καὶ θῆρες ἀγρονόμοι,
καὶ πάντοθεν ἐλαύνουσι ςυγοῦντες τὴν κακίαν·
ὄμμα δὲ Δίκης πανδερκὲς κυνηγετοῦν ἰχνεύει,
καὶ πάντοθεν ἐφέπεται τὸν δυσσεβῆ διῶκον,
ὡς Ἄργος ὁ πολύγληνος τὴν Ἰναχείαν κόρην,

Adeo nullum scelus usque non latet Dei, qui videt omnia, cuncta qui cernit, oculos, sed nec homines plurimos, ne dicam cunctos.

Sed mors, ut videtur, malos reformidat, perversos fugit homines, et vitiosos metuit.

In Pæonia fera est, quæ monops vocatur, magnitudine corporis tauro similis. Amaras et letales vescitur radices, et si venator illam insequitur, fimum reddit urens, acre, causticum; cujus aspersio, si catulum, hominemve, aliudve animal contigerit tantum, statim enècat, ilico perimit.

Sed malos, ut videtur, norunt et elementa, ignis, et tellus, et fluvii, et quæ campos incolunt bestiæ, et ubique illos persequuntur, ob dirum vitii odium: simulque Justitiæ oculus, qui cuncta videt, vestigia premit impii, et ubique locorum sequitur comes et indagator, Inachiam velut virginem Argus centeno cinctus lumine,

Atlantis scopulos licet superet nivosos, aut profundis lateat occultus Tritonis thalamis, imosve petat Oceani gurgites, vel sublimi ceu aquila Libyam supervolet alarum remigio et Caucasum et ultimos Gaditanos, vel ad Massagetas fugiat et Arimaspos : adeo nihil ferre potest impium, nec fluvius, nec arbor, nec alma tellus.

Importunus, clamosusque et loquax est omnis prædo.

κἂν Ἄτλαντος νιφόεντας ὑπερπηδήσῃ πάγους,
κἂν τοῖς βυθίοις ἐγκρυβῇ τοῦ Τρίτωνος θαλάμοις,
κἂν ὑποδὺς ὠκεανὸν ὑπόβρυχα μιμνάζῃ,
κἂν πτερωθεὶς ὡς ἀετὸς Λιβύην ὑπερπέτῃ
καὶ τὰ παρὰ Καυκάσια καὶ τὰ Γαδείρων πέρα,
κἂν φύγῃ πρὸς Ἀριμασποὺς, κἂν ἐπὶ Μασαγέτας·
οὕτως οὐδὲν ἀνέχεται τὸν ἀσεβῆ βαστάζειν,
οὐ ποταμὸς, οὐ δένδρεον, οὐδ᾽ ἡ παμμήτωρ γαῖα.
Ὀχλώδης γὰρ καὶ κραύγασος ἅπας λῃστὴς καὶ λάλος.

ΕΚ ΤΩΝ ΕΡΩΤΙΚΩΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Τῶν κατὰ Ἀρίςανδρον καὶ Καλλιθέαν.

ΛΟΓΟΣ Γ.

Ου γάρ τι βέβαιον θνητοῖς, ὁ δὲ τροχὸς τῆς Τύχης
συχνάκις κυλινδούμενος ἄνω καὶ κάτω ῥέπει
σκέμματα καὶ βουλεύματα καὶ τύχας ἀνθρωπίνας.
Κἂν ἦν ἀνθρώποις ἀνυςὸν πᾶν τὸ βεβουλευμένον,
ἀντεκατέςη καὶ θεοῖς ἄνθρωπος ἂν εἰς μάχην·
καὶ τίς ἂν ἴσχυσεν ὀφρῦν ἀνθρώπου κατασπᾶσαι;
Ἀλλ' ὁ θεὸς, ὡς ἔοικεν, ἐπίτηδες κολούει
καὶ σφάλλει διαβούλια, καὶ πράγματα συγχέει.

Ἂν ζῶντα γάρ τινα κακῶς ἡ μοῖρα προαρπάσῃ,

EX EROTICIS

NOVEM LIBRIS

SAPIENTIS VIRI MANASSIS

De rebus Aristandri et Callitheæ.

LIBER III.

STABILE enim nihil est mortalibus; et rota fortunæ indefessim volubilis sursum ac deorsum cogitationes rapit et consilia casusque mortalium. Si valeret homo quodcumque vult perficere, cum ipsis homo Deis certaret: et quis posset hominis imminuere superbiam? sed Deus, ut videtur, de industria resecat et fallit eorum consilia, resque conturbat.

Etenim si quem male viventem ante tem-

pus Parca rapuerit, mors non est mors, fatum non fatum, letum non est letum, sed laborum requies.

Fortem enim virum, et claro natum genere, liberaliterque institutum, vel recte vivere decet, vel e vita abire morique non inhoneste.

Non nescis, Aristandre, Fortunæ ludos; non nescis mare et tolli fluctibus, et ventis late sonantibus concuti, rursusque subsidere, silere rursus, atque æstus reprimere insanosque tumores, spirante lenis aura favonii. Non semper spendidi faciem solis spissæ nimborum caligines fœdo obscurant horrore; non semper deformis hyems anni regnat, nec mœsti menses qui arbores comis spoliant fructibusque nocent: splendet quoque ver floridum, ver fertile; splendet et æstatis amœna dies, quæ fructus maturat, et frigoris hiberni fugat tristitiem: nec semper ira fervet Deus, tetram ostentans morta-

ὁ θάνατος οὐ θάνατος, ὁ πότμος οὐχὶ πότμος,
ἡ νέκρωσις οὐ νέκρωσις, ἀλλὰ τῶν πόνων παῦλα.

Καὶ γὰρ τὸν ἀνδροκάρδιον, κἀξ εὐγενῶν φυέντα,
καὶ τεθραμμένον εὐγενῶς, ἢ ζῆν καλῶς προσήκει
ἢ καταλύειν τὴν ζωὴν καὶ θνήσκειν προσηκόντως.

Οὐκ ἀγνοεῖς, Ἀρίστανδρε, τὰ παίγνια τῆς Τύχης.
Οὐκ ἀγνοεῖς ὡς θάλασσα ποτὲ καὶ κυματοῦται,
καὶ πνεύμασι τινάσσεται φαιδροῖς βαρυηχέσι,
καὶ πάλιν κατευνάζεται, καὶ πάλιν ἡμεροῦται,
καὶ καταστέλλει τοὺς βρασμοὺς καὶ τοῦ θυμοῦ τοὺς ὄγκους
ἐπιπνευσάσης εὐκραοῦς πνοῆς ἁπαλοπνόου.
Οὐ πάντοτε τὸ πρόσωπον τοῦ λαμπραυγοῦς ἡλίου
ἀχλύες παχυνέφελοι θολοῦσι καὶ σκοτοῦσιν.
Οὐ πάντοτε κατήφειαι χειμῶνος τυραννοῦσιν,
οὐ φυλλοχόοι καὶ στυγνοὶ μῆνες ὀπωροφθόροι.
Λάμπει ποτὲ καὶ φερανθὲς ὀπωροφόρον ἔαρ·
λάμπει καὶ τελειόκαρπος ὥρα ποτὲ θερεία,
τὸ σκυθρωπὸν ἐλαύνουσα τοῦ χειμερίου κρύους.
Οὐ πάντοτε τὸ ζάκοτον δαιμόνιον χολοῦται,

οὐδὲ βλοσυροβλέφαρον ὄμμα θνητοῖς δεικνύει·
ἀλλ' ἔςιν ὅτε καὶ γελᾷ, καὶ γαληνοῖς προσώποις
καὶ βλέμμασι προσδέρκεται τούτους ἱλαρωτέροις.

Κἀμοὶ τὸ περπερόγλωσσον καὶ τὸ κομψὸν ἐν λόγοις
ἀπειροκάλου καὶ ψυχῆς νομίζεται καὶ γλώσσης.

Οὕτως οὐ χρή ποτε θνητὸν εὐδαιμονίζειν ἄνδρα,
πρὶν ἂν περάσῃ πέλαγος θαλάσσης τῆς τοῦ βίου.
πέλαγος ὀρυόμενον μορμύρον ὑπὲρ ἅλμην
Ἀτλαντικὴν καὶ Σικελὴν, καὶ πόντον κυματίτην.

Τῆς γὰρ φιλίας τὸ πιςὸν ὁ πειρασμὸς ἐλέγχει,
ὡς πῦρ δοκιμαςήριον τὸ καθαρὸν τῆς ὕλης,
ὡς λίθος ἄλλη τὸν χρυσὸν ἡ βασανιςηρία.
Κἀκεῖνος φίλος ἀκραιφνὴς ὁ, πασχόντος τοῦ φίλου,
μὴ φεύγων, μηδὲ προδιδοὺς, μηδὲ τὰ νῶτα ςρέφων.
Ὁ φίλος φίλος ἐν κακοῖς· ἐν γὰρ εὐημερίαις
ἀρκεῖ καὶ μόνος ὁ θεός· τίς ποτε φίλου χρεία;
Ἂν δέ τις βλέπων συμφορᾷ ποντούμενον τὸν φίλον,
ἔρημον οἴχοιτο λαβὼν ὡς σκάφος θαλασσόπλουν
οὐκ ἔχον τοὺς ἰθύνοντας, οὐ κάλωας, οὐ λαίφη,

libus superciliorum nubem; sed ridet identidem, et sereno vultu oculisque respicit illos lætioribus.

Mihi quoque linguæ petulantia et nimius sermonum fastus animi esse videtur orisque protervioris.

Adeo mortalis homo non est prædicandus felix, antequam vitæ trajecerit fluctus, mugientes fluctus, undisque æstuosiores Atlanticis et Siculis, atque oceano tumultuoso.

Amicitiam enim fidelem experimentum comprobat, sincerum ignis ut metallum, aurum ut lapidis indicium coticulæ. Et ille sincerus est amicus qui in amici malis non fugit, nec, eo prodito, terga vertit. In adversis enim rebus amicus se gerit amicum: nam in secundis sufficit unus ipse Deus: quid tunc opus amico? Si quis vero amicum cernens calamitatum mersum fluctibus, desolatum relinquat, navem ceu pontivagam, quæ navitas et rudentes amisit velaque,

delphini et pediculi more agit, non hominis. Delphinus enim ad littus usque cymbam prosequitur, cumque illam jamjam telluri proximam cernit, fugit relicta nave, relictisque nautis. Et pediculi sanguine innutriti, sanguinem vescuntur, divites si intus reperierint rubri liquoris venas; at si jam exaruerit cruor, senserintque carnes cuticulamque fieri frigidiores, fugitivis se proripiunt pedibus nec diutius conspiciuntur.

Levem etenim mentem aiunt et præcipitem secundam non posse fortunam ferre, plumbo graviorem gravique ferro.

Quod ferunt vulgo non mendax, ut videtur, fabula fuit, litterarum nempe elementa inter se constituisse quæ laterent alterum cum altero communicare : hinc ore omnia loquuntur elingui.

Sed puram quis mortalium inveniet felicitatem? Fortuna enim mortalibus irasci videtur, et amari aliquid ipsi leporum fonti miscet.

δελφῖνος ἔργον καὶ φθειρὸς ἀλλ' οὐκ ἀνθρώπου πράττει·
ἕπεται γάρ τοι καὶ δελφὶς μέχρι καὶ γῆς τῇ σκάφῃ,
ἂν δ' ἴδῃ προσπελάζουσαν τῇ παρακτίῳ χέρσῳ
λειπόνεως γενόμενος καὶ λειποναύτης φεύγει·
καὶ φθεῖρες αἱματόθρεπτοι τοῖς αἵμασι συζῶσαι
ἐντὸς αἱμάτων ὀχετοὺς εὑρίσκοιεν πλουτοῦντας,
ἂν δ' ἤδη λειφαιμήσαιεν, αἱ δ' αἴσθωνται ψυγέντων
καὶ κρεϋλλίων καὶ σαρκῶν καὶ τῶν ἐπιδερμίδων,
πόδα δραπέτην αἴρουσι καὶ σύνεισιν οὐκέτι.

Κοῦφον γὰρ φρόνημα, φασὶ, καὶ μετεωροβάμον
τῆς τύχης τὴν εὐμένειαν οὐ δύναται βαςάσαι,
βρίθουσαν ὑπὲρ μόλιβδον, ὑπὲρ σιδήρου βάρος.

Τὸ γὰρ περιφερόμενον, ὡς ἔοικεν, οὐ μῦθος,
ὅτι συνέθεντο, φασὶν, ἀλλήλοις τὰ ςοιχεῖα
ἐπ' ἄλληλα τὰ παρ' ἀμφοῖν κρύπτα διαπορθμεύειν·
κἀντεῦθεν πάντα λέγουσιν ἐν ςόμασιν ἀγλώσσοις.

Ἀλλ' ἄκρατον εὐτύχημα τίς γηγενῶν εὑρήσει;
ἡ Τύχη γὰρ, ὡς ἔοικεν, ἐν τούτοις δυσμεναίνει
καὶ τοῖς τερπνοῖς παρακιρνᾷ καί τι τῶν πικραζόντων.

Λέγεται γὰρ ὁ βασιλεὺς ϛρουθιομήτωρ ὄρνις,
καὶ τὸν ὑπήκοον λαὸν ἀμφέπει καὶ συνέχει,
ὡς εὐπτερώτης ἁπαλοὺς νηπίους ὀρταλίχους,
καὶ πᾶσαν ἔφοδον ἐχθρῶν καὶ βλάβην ἀπερύκει.

Οἴνου πολλοῦ γὰρ, ὥς φασιν, εἰς σῶμα κατιόντος,
ἐπαναπλέει ῥήματα πᾶν κρύφιον τρανοῦντα.

Regulus vocatur struthiometor avis, et subditam gentem custodit fovetque, eupterotes velut teneros implumesque pullastros, et hostium incursum noxamque propulsat.

Cum enim multum, aiunt, in præcordia vinum descenderit, exundant verba quibus occulta quæque aperiuntur.

EX EROTICIS

NOVEM LIBRIS

SAPIENTIS VIRI MANASSIS

De rebus Aristandri et Callitheæ.

LIBER IV.

Quantum per mare calamitatum, quantum per oceanum gens miserrima jactatur mortalium, statim a nativitate, primo statim a lucis exordio! Et e malis enatare non valent, antequam mortuorum portitor illos transvexerit Charon in vastam Plutonis urbem, alias in regiones tenebrosas, mœstas caligantesque, quas late sonans Acheron Cocytusque turbineus madidis humectant cinguntque brachiis.

ΕΚ ΤΩΝ ΕΡΩΤΙΚΩΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Τῶν κατὰ Ἀρίστανδρον καὶ Καλλιθέαν.

ΛΟΓΟΣ Δ.

Εἰς οἵαν ἅλμην συμφορῶν, εἰς πέλαγος πηλίκον
τὸ φῦλον τὸ ταλάντατον ῥιπτεῖται τῶν ἀνθρώπων
εὐθὺς εὐθὺς ἀπὸ γαστρὸς, ἀπὸ τοῦ πρώτου φάους!
Καὶ τῶν κακῶν ἐκκόλυμβον οὐ δύναται γενέσθαι,
πρὶν ἂν αὐτὸ νεκραγωγὸς μεταπορθμεύσῃ Χάρων
παντοδεχὲς ἐς φρούριον ἕτερον νεκροδέγμου,
ἐς ἄλλους χώρους ἀφεγγεῖς στυγνοὺς ἀσεληνήτους,
οὓς φλοῖσβος Ἀχερόντειος καὶ Κωκυτοῦ στροφάλιγξ
ἐνύδροις περιβρέχουσι καὶ σφίγγουσιν ἀγκάλαις.

Τὸ γὰρ πολὺ τῶν πειρασμῶν ὑπελαφρύνει βάρος
φίλη ψυχῶν συμβίωσις καὶ τὸ συζῆν ἀλλήλοις,
ὥσπερ δυοῖν δυσάγκαλον μεριζομένων ἄχθος.

Ἄνδρες δὲ λέγουσι σοφοὶ Μουσάων ὑποφῆται·
Ἂν ἦν ἀνθρώποις δυνατὸν πάντας ὁμοῦ γενέσθαι,
καὶ τὰς ἰδίας ἕκαστον πικρίας καὶ τὰς θλίψεις,
καὶ τῆς ψυχῆς τὴν συνοχὴν εἰς μέσον καταθεῖναι,
ἔπειτα κῆρυξ παρελθὼν ἐβόησεν ἐντράνως·
« Ἄνθρωποι πηλοφύρατοι, χωμάτινοι τὴν πλάσιν,
» ἕκαστος ἀποθέμενος τὰς λύπας τὰς ἰδίας
» αἷς τὴν ψυχὴν καμπτόμενος ἀλγεῖ καὶ σχετλιάζει
» τὰς θλίψεις τὰς τοῦ σύνεγγυς ἀντεπιφορτιθήτω· »
ἕκαστος ἂν τῶν γηγενῶν ἐπέγνω παραυτίκα
ὅσον αὐτὸς κουφότερον περίκειται φορτίον,
ὅσον εὐκομιστότερον ὡς ἐν κακῶν συγκρίσει·
οὐδεὶς γὰρ ἂν ἠθέλησεν ἄλλου βαστάσαι πόνους,
τὰς ἀχθηδόνας τῆς αὐτοῦ καρδίας ἀποῤῥίψας.

Τίς γὰρ κακῶν ἀπείρατος εἰς γῆν πεσὼν καθάπαξ;
ἢ τινι περιπλέοντι τὴν ἅλμην τὴν τοῦ βίου
εὐρυχανὲς οὐκ ἤνοιξαν οἱ πειρασμοὶ τὸ στόμα,

Nimium enim ærumnarum allevat pondus amica animorum consortio vitæque societas, homines veluti cum duo gravius partiuntur onus.

Si possent, docti inquiunt Musarum interpretes, una omnes convenire simul homines, et si unus dolores quisque suos atque ærumnas, animique angores in medio deponeret, tuncque præco alta voce inclamaret : « Homines, luto ficti undis mixto » fluvialibus, homines e pulvere formati, » depositis ærumnis quisque suis, quibus » pressus animum doletque gemitque, pro» ximi vicissim sibi sumat infortunia ; » statim terrigenarum quisque, in ista veluti malorum comparatione, intelligeret quanto levius ipse fert onus, quantoque minus grave. Nemo enim alienas sibi vellet imponere calamitates, abjectis animi sui sollicitudinibus.

Quem enim matris de ventre cadentem non statim excepere mala ? vel quis amaros vitæ fluctus secans in vastum non decidit os ærum-

narum, quæ immania veluti cete, nautas cum malis ipsis ipsisque vorant navibus.

Quod vulgo dicitur non falso dici videtur, omnem scilicet hominem, qui non sit mente locuples, nec prudentia instructus, nec officii intelligens, exultare, si palperis, et te ulnis amplecti, et gestire lætarique dulci captum aurium lenocinio : at si vera monueris, si non falsis mordebis eum opprobriis, te detestatur et odit, verbaque tua non aliter habet ac gladios acutos, et aspidis venenatæ virus, et catoblepis halitum, martichoræque conspectum; atque ad ultionem festinat. Oh! vanas hominum mentes!

At prudentiam, aiunt, vincit fati dira necessitas, et recta facit errare via, et in præcipitia deturbat, et supinos dejicit in caput, in humeros.

Parva furentem caminum scintilla accendit; totum gregem scabiosum animal unum nficit; et una arborem totam foliis spoliat eruca; urbique toti malus unus opprobrio est.

καθάπερ ὀμβριμόγυια πολυχανδέα κήτη ,
αὐτοῖς ἱστοῖς, αὐταῖς ναυσὶ ῥοφοῦντες τοὺς πλωτῆρας.

Τὸ γὰρ περιφερόμενον , ὡς ἔοικεν , οὐ ψεῦδος
ὡς πᾶς ἀνὴρ ὁ μὴ πλουτῶν ἀμφὶ μελαίνας φρένας ,
μὴ νοῦν αὐχῶν πευκάλιμον , μὴ συνορῶν τὸ δέον ,
σκιρτᾷ κολακευόμενος , καὶ περιπτύσσεταί σε ,
καὶ γάννυται καὶ γέγηθεν τὸ θελητὸν ἀκούων·
ἂν δὲ λαλήσῃς ἀληθῆ , ἂν τοῖς ἐλέγχοις κνίσῃς ,
στυγεῖ σε καὶ βδελύττεται , καὶ δέχεται τοὺς λόγους
ὡς μαχαιρίδας , ὡς ἰὸν ἀσπίδος φαρμακτρίας ,
ὡς ἄσθματα κατώβλεπος , ὡς μαρτιχώρας βλέμμα,
καὶ πρὸς τὴν ἀντιλύπησιν σπεύδει. Τῆς κουφονοίας !

Ἀλλὰ τὰς φρένας , ὥς φασι , νικᾷ τὸ πεπρωμένον
καὶ παραπλάζει τῆς ὁδοῦ , καὶ κατὰ χάους βάλλει ,
καὶ καταβάλλει κύμβαχον ἐπὶ βρεχμὸν , ἐπ᾽ ὤμους.

Μικρὸς σπινθὴρ ἐρίβρομον κάμινον ἀνακάει·
ὅλην ἀγέλην ψωριῶν ἓν ζῶον διαφθείρει ,
καὶ κάμπη μία δείκνυσιν ἄφυλλον ὅλον δένδρον ,
καὶ πόλιν ὅλην φαυλουργὸς ἄνθρωπος εἷς αἰσχύνει.

Ἂν τὸν σπινθῆρα σβέσῃ τις, ἂν τοῦ πυρὸς τὸ σπέρμα,
φλὸξ οὐκ ἀνεγερθήσεται, κάμινος οὐ παφλάσει·
ἂν ἐκποδὼν ποιήσηται τὸ πάσχον ἀγελάρχης,
οὐ ψαύσει ψώρα τῶν λοιπῶν, τοῖς λοιποῖς οὐ πελάσει·
ἂν συμπατήσῃ φυτουργὸς τὴν χλωροφάγον κάμπην,
τὸ δένδρον οὐ πλησθήσεται σπερματισμοῦ καὶ γόνου,
καὶ γόνος ὁ νεώτερος οὐ φάγεται τὰ φύλλα·
ἂν τολμητίαν ἄνθρωπον ξίφος δειροτομήσῃ,
οὐδεὶς τοσοῦτον ἀναιδὴς καὶ θερμουργὸς ἐσσεῖται,
ὥςε τολμῆσαι τοῖς αὐτοῖς κακοῖς ἐπιχειρῆσαι,
ἀλλὰ τὴν θρασυκάρδιον ἀνασειράσει τόλμαν,
ἐγγὺς ἐγγὺς τὴν κόλασιν καὶ πρὸ βλεφάρων ἔχων.
Ἂν γὰρ μικρὸν δελφάκιον, ὑπογρυλλίσαν μόνον,
ἐλέφαντα βαρύσαρκον ἐκδειματοῦν ἰσχύῃ,
ἂν ἐκφοβῶσι λέοντας ἀλεκτοροφωνίαι,
πῶς οὐχὶ ξίφος ἄνθρωπον καὶ πέλεκυς φοβήσει,
κρεωκοπῶν μεληϊςὶ κακοεργάτας ἄνδρας;

Ὁ μὲν γὰρ κάκιςος ἀνὴρ τῷ βίῳ συγγηράσκει
καὶ ζῇ μακροὺς λυκάβαντας ἕως τριχὸς πολέμου,
καὶ θάνατος οὐ δύναται τούτου περιγενέσθαι·
μᾶλλον μὲν οὖν καὶ πέφρικεν ὁ θάνατος καὶ τρέμει
μὴ δακὼν τοῦτον ὁ κακὸς καὶ μᾶλλον θανατώσει·

est civis. Scintillam si quis flammæque alimentum oppresserit, flamma non excitabitur, non flagrabit caminus; ægram si ab armento bestiam pastor secreverit, scabies cæteras non inficiet, non attinget cæteras; si voracem calcaverit erucam hortulanus, ovis et dira progenie arbor non replebitur, nec recens agmen folia consumet; sceleratum hominem si gladius capite minuerit, nemo impudens adeo erit et audax ut eadem scelera admittat; sed temerariam reprimet præcipitis vim animi, cum jamjam adfuturum sperabit supplicium, imo ante ipsos nunc adesse cernet oculos. Etenim, si vel parvulus tenui grunnitu porcellus vasta se mole moventem territat elephantum; leones si gallus tremefacit cucurriens : qui non terrebit hominem gladius, et securis, quæ membratim scelestos concidit viros?

Pessimus enim homo longæ senex peragit tempora vitæ, et mors ipsum non potest vincere; imo mors tremit, metuitque ne ipsam morsu letali perimat.

Viperam enim aiunt, quæ atra niveo toxica denticulo inspirat, cum morsu eunuchum occupasset, statim ruptam jacuisse, sanguine læsam plusquam vipereo, quique sui vinceret veneni pericula. At bonus breves per annos ostensus terris, carpitur rosa ceu mollis, et ante tempus consumitur.

Ἔχιδνα γάρ τοι, λέγουσι, ποτὲ φαρμακομήτωρ
εὐνοῦχον φθάσασα δακεῖν, ἐῤῥάγη παραχρῆμα·
αἵματος γὰρ ἐράσατο πολλῷ φαρμακωτέρου,
κἀκείνης τὸν θανάσιμον ἰὸν ὑπερνικῶντος·
ὁ δὲ καλὸς ἐπὶ μικρὸν ἀναθελήνας χρόνον
φύγεται ῥόδον ὡς λοκρὸν καὶ φθίνει πρὸ τῆς ὥρας.

ΕΚ ΤΩΝ ΕΡΩΤΙΚΩΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ.

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Τῶν κατὰ Ἀρίςανδρον καὶ Καλλιθέαν.

ΛΟΓΟΣ Ε.

Οὐδὲν γὰρ χεῖρον ἕτερον νόμισμα παρ' ἀνθρώποις
ἔϐλαςεν οἷον ὁ χρυσὸς, χρυσὸς ὁ κακορέκτης,
ὁ τύραννος, ὁ βίαιος ἀνθρώπων κρεανόμος,
συκοφαντίας ὁ πατὴρ, ὁ φυτουργὸς τοῦ ψεύδους,
ἀνθρωπαπάτης ὁ πικρὸς, ἡ τῆς κακίας ῥίζα·
οὗτος καὶ πόλεις ὄλλυσι καὶ δόμους ἀνατρέπει:
οὗτος τὸ πᾶν ἀσυςατεῖ καὶ φθείρει καὶ συμφύρει.
οὗτος διδάσκει τὰ κακὰ, καὶ παραλλάσσει φρένας,
καὶ νοῦν χρηςὸν εἰς ἔχθιςα πράγματα παρασύρει·
οὗτος θνητοὺς ἐδίδαξεν πᾶσαν κακοϐουλίαν,
καὶ σύμπασαν δυσσέϐειαν καὶ μοχθηροτροπίαν.

EX EROTICIS

NOVEM LIBRIS

SAPIENTIS VIRI MANASSIS

De rebus Aristandri et Callitheæ.

LIBER V.

Rem enim nullam apud homines pejorem aliam auro sanxit usus, auro scelerum auctore, tyranno, sævo humanorum viscerum helluone, patre calumniarum, mendacii satore, diro dolorum architecto, vitiorum radice. Aurum et urbes perdit subvertitque domos. Aurum cuncta perturbat, corrumpit, et confundit. Aurum vitia docet, et mentes mutat in pejus, animumque honestum ad inhonesta trahit. Aurum mala homines concilia unum edocuit, et quidquid est impii pravique.

Mens nimio fastu elatior omnis casu ruit turpissimo.

Solet enim alienæ calamitatis narratio audientium incurvare animos et ad fletus commovere, unicuique suos renovans dolores, et non ignaros mali miseris succurrere docens. E lætioris fortunæ communicatione nascitur aliquando invidia; sed qui in similium veniunt malorum consortium, honesta quadam humanitatis æmulatione, communia vicissim alii aliorum deflentes mala, amarum doloris poculum in vicem sibi propinant.

Adeo vis gaudii magna animi deliquium parere solet, vitalibus corporis partibus nimia voluptate resolutis nativoque calore vacuis; et immodica lætitia homines vix fugiendis illecebris fractos inebriare videtur, ardor ceu vini veteris potores qui se meracioribus proluunt poculis.

Ad vivos pertinet quidquid est jucundi;

Ἅπαν φρόνημα σκληρὸν αἴσχιςον πτῶμα πίπτει.

Οἶδε καὶ γὰρ ἀκρόασις θλίψεων ἀλλοτρίων
σύγχέειν τοὺς ἀκούοντας καὶ συγκινεῖν εἰς πένθος,
τὸ μὲν, ὑπαναξαίνουσα τὰς ἐν ἐκείνοις πάθας,
τὸ δὲ, καὶ κατοικτίζεσθαι πείθουσα τὰ τῶν ἄλλων.
Καλῶν μὲν γὰρ συμμέθεξις τίκτει ποτὲ καὶ φθόνον·
ὁπόσοι δ' ἂν μετάσχωσι ταυτοπαθῶν καμάτων,
ἀλλήλοις τὸ φιλάνθρωπον ἀντιφιλοτιμοῦντες,
καὶ τὰς ἀλλήλων συμφορὰς οἰκτείροντες ἀλλήλοις,
ἀντιπροπίνουσι πικρὰν πένθους φιλοτησίαν.

Οὕτω καὶ μέγεθος χαρᾶς νέκρωσιν οἶδε φέρειν,
ἐν ὑπερμέτροις ἡδοναῖς τῶν ζωτικῶν μορίων
ἀνιεμένων, καὶ τῆς σφῶν θερμῆς ἐκπνοουμένης·
ἔοικε δὲ καὶ τὸ πολὺ τῆς τέρψεως μεθύσκειν
τοὺς ταῖς ἀφύκτοις ἴϋγξιν αὐτοῦ θηλυνομένους,
ὡς οἶνος παλαιόθερμος τοὺς ἀκρατοποτοῦντας.

Ἐν ζῶσι πάντα τὰ τερπνά· παρὰ δὲ τοῖς νερτέροις

ὀςᾶ καὶ χοῦς κεισόμεθα καὶ μόνον κωφὴ κόνις.

Καλοὺς γὰρ τέρπουσι καλοί, καὶ τοὺς αἰσχροὺς οἱ [φαῦλοι.

Θεοὶ γὰρ ἄκρατον οὐδὲν νέμουσι τοῖς ἀνθρώποις,
ἀλλὰ συναναφύρουσι τοῖς ἀγαθοῖς καὶ φαῦλα·
καὶ κάλλους μὲν χαρίζονται χρυσολαμπεῖς ἀκτῖνας,
ἀλλὰ τὸ κάλλος τοῦ νοὸς ἔμπαλιν ἀφαιροῦνται.

Ἄκρατος γὰρ ἐπιπεσὼν ὁ πανδαμάτωρ Ἔρως,
καὶ τὴν καρδίαν κατασχὼν, καὶ τὴν ψυχὴν μεθύσας,
καὶ καθ' αὐτοῦ θυμαίνεσθαι τὸν ἐραςὴν ὁπλίζει.

Οὐδὲ γὰρ οὐδ' ὑπεύθυνόν ἐςι τὸ κατὰ βίαν.

Τὸ γὰρ ἑτοιμοδώρητον ἔχει τινὰ καὶ χάριν.

Παςάδων πηγνυμένων γὰρ καὶ γάμων τελουμένων,
τὸ μὴ καὶ τὸν γεννήτορα παρεῖναι τοῦ νυμφίου,

sed apud inferos jacebimus ossa pulvisque, et mutus duntaxat cinis.

Bonis etenim boni gaudent, et mali malis.

Nihil quippe Dii mortalibus sincerum dederunt; sed lætis adversa commiscent: et pulchritudinis aureis faciem radiis ornant, sed pulchritudinem rursus mentis adimunt.

Amor enim, qui regnat cunctorum, totus in animum ruens, mentemque oppressam inebrians, amatorem violentas in semetipsum manus exercere cogit.

Tyrannica quippe amentia jura sibi nata negat.

Non caret enim gratia si quis sit ad munera velox.

In hoc enim thalami apparatu illaque nuptiarum celebritate, solennes instituere da-

pes et mutua inter se lætos curare convivia, absente ipso mariti patre, nec æquum puto nec faustum nec decorum.

Adeo sæpe in multis improbitas metu hominum coercetur; et ad turpia nefandaque qui ruit præceps, equus ceu ferrea cum rejecit ore lupata, quique nec se veretur ipsum, nec Deum timet; si mentem tremor occupet, si formidet homines, a pravo flagitiosoque retrahitur impete: gravi quippe capistro illum metus angit. Sic canem aiunt ferum sævaque percitum rabie viro cuidam intrepido atque robustissimo terrorem injecisse, et alienum concutere lectum properantis inhibuisse gressus.

καὶ θύειν δειπνογάμια καὶ συμπανηγυρίζειν,
οὐκ εὔλογον οὐδ' αἴσιον οὐδ' εὐπρεπὲς ἡγοῦμαι.

Οὕτω πολλάκις τοῖς πολλοῖς οἱ τῶν ἀνθρώπων φόβοι
ἐμποδισαὶ καθίσανται τῆς μοχθηροτροπίας.
καίτις σφαδάζων πρὸς αἰσχρὰ καὶ πρὸς ἀθέσμους πράξεις
ὡς πῶλος πυριμάλακτον στόμιον ἀποπτύσας,
καὶ μήθ' αὑτὸν αἰδούμενος μήτε τὸ Θεῖον τρέμων,
ἂν ἔχῃ φόβον σύνοικον, ἂν ἐξ ἀνθρώπων πτοίαν,
ἐκ τῶν ἀτάκτων εἴργεται καὶ φαύλων σκιρτημάτων·
κημὸν γὰρ βαρυσίδηρον τὸν ἐκ τοῦ δέους φέρει.
Καὶ κύνα δέ ποτέ φασιν ἄγριον λυσσητῆρα
ἄνδρα τινὰ μεγάθυμον καὶ βριαρὸν φοβῆσαι,
καὶ πρὸς εὐνὴν μοιχίδιον βεβακχευμένον εἶρξαι·

ΕΚ ΤΩΝ ΕΡΩΤΙΚΩΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Τῶν κατὰ Ἀρίϛανδρον καὶ Καλλιθέαν.

ΛΟΓΟΣ ϛ'.

ΩΝ γὰρ τις ἔραται τυχεῖν ταῦτα φαντασιοῦται.

Ὦ γύναι, κόσμος γυναιξὶ καὶ μᾶλλον ταῖς παρθένοις, μὴ γλωσσαλγεῖν ἐπὶ κενοῖς, ἀλλὰ θυροῦν τὸ ϛόμα, καὶ μὴ μακροῖς καὶ περιττοῖς ἐνδιατρίβειν λόγοις.

Αἱ τῶν μεγάλων, ὥς φασι, πραγμάτων ἐγχειρήσεις μεγάλης γὰρ συσκέψεως χρήζουσι καὶ φροντίδος· ἂν γὰρ ἀπερισκέπτως τὶς οὕτω καὶ παραβόλως καὶ μὴ προφυλαξάμενος τὸν τῶν κινδύνων ὄγκον,

EX EROTICIS

NOVEM LIBRIS

SAPIENTIS VIRI MANASSIS

De rebus Aristandri et Callitheæ.

LIBER VI.

ETENIM quæ consequi cupit aliquis, illa sibi per imagines præsentia fingit.

Mulier, mulieres et in primis virgines decet non de vanis rerum esse loquaciores, sed os tenere clausum, nec longis superfluisque indulgere sermonibus.

De magnis, aiunt, rebus consilia magna egent consideratione curaque. Si quis enim inconsulto et temere, nec perpensa prius periculorum impendentium gravitate,

cupiditate vincatur et audacius quid agat, viri cordatiores idem eum facere arbitrabuntur furioso qui, montivagarum et amantium saxa capellarum more per præcipitia profundasque convalles et abruptas corpore se mitteret, vel nudis insultaret ensibus.

Factum enim quod rationis judicio non prius auctor probavit, periculosius plerumque est et discriminis plenum perniciosumque, et gravem importat noxam; sed si quis prudenter omnia et circumspecte consideraverit, atque consilii semina in mente condiderit, lætum arat agrum nec messe carentem: velut si quis validis rura bobus exercens, e fecundis densas sulcis prosternat messor aristas.

Natura enim zelotypum est eunuchorum genus. Eunuchum si custodem elegeris, non subibit lumina fessa sopor. At ne statim eum raræ fidei et benevoli in heros animi laudes: livor occupat præcordia; invidet, irascitur aliis; et nihil jam agere cum valeat, va-

ἐπιθυμίᾳ νικηθῇ καὶ τολμηρόν τι δράσῃ,
ταυτόν τι διαπράξασθαι δόξει τοῖς νουνεχέσιν,
ὡς εἴ τις ἀκοντίσειε κατὰ κρημνοὺς τὸ σῶμα
κατὰ τὰς κρημνοβάτιδας ὀρεσινόμους αἶγας,
καὶ βαθυχάων κρημνωδῶν φαράγγων ἀνεκβάτων,
ἢ καὶ γυμνοῖς τοῖς ξίφεσιν ἐγκατακυβιστήσει.

Πρᾶξις μὲν γὰρ προφθάνουσα τοῦ λογισμοῦ τὴν κρίσιν,
σφαλερωτέρα τὰ πολλὰ καὶ κινδυνωδεστέρα,
καὶ ζημιώδης καὶ πολλὴν ἐπάγουσα τὴν βλάβην·
ἂν δέ τις προβουλεύσηται καὶ πάντα δοκιμάσῃ,
καὶ τῆς βουλῆς ἐν τῇ ψυχῇ τὸ σπέρμα θησαυρίσῃ,
καλὸν καὶ τὸ γεώργιον καὶ τὸν καρπὸν κερδαίνει·
ὡς εἴ τις αὐλακίσμασι χρησάμενος βουστρόφοις
ἐκ γῆς λιπαροβώλακος θέρος ἁδρὸν θερίσοι.

Φύσει καὶ γὰρ ζηλότυπον τὸ τῶν εὐνούχων γένος·
κἂν πιστευθείη φυλακὴν, οὐχὶ κατανυστάξει,
οὐχ ὡς πιστὸν τοῖς ἑαυτῶν δεσπόταις, οὐδ' ὡς εὔνουν,
ἀλλὰ φθονοῦν, ἀλλὰ ζηλοῦν, ἀλλ' ἐγκοτοῦν τοῖς ἄλλοις,
καὶ μὴ δυνάμενον ποιεῖν, εἴργει τοὺς δυναμένους.

Οὕτως καὶ κύνας λέγουσι δρᾶν τοὺς ἐπιφατνίους·
μὴ γὰρ αὐτοὶ δυνάμενοι κριθοφαγεῖν ὡς ἵπποι,
οὐδὲ τοῖς ἵπποις θέλουσιν ἐσθίειν συγχωροῦσιν.
Σύμφυτα γάρ τοι γυναιξὶ τὰ τῆς ζηλοτυπίας·
ἐπὰν δὲ καὶ ταῖς ἔρωτος ἐκκαίοιντο καμίνοις
καὶ ταῖς ἐκ τούτων φλέγοιντο πυρκαϊαῖς τὰ σπλάγχνα,
τοὺς ἐρωμένους τε συμβῇ σφίσιν ὡραίους εἶναι,
ἀγαλματίας τὴν μορφὴν, εὐμήκεις ὡς πλατάνους,
τότε καὶ βλέμμα, καὶ φωνὴν, καὶ βάδισμα, καὶ νεῦμα,
καὶ κίνημα, καὶ λάλημα φιλοῦσιν ὑποπτεύειν,
καὶ βλήμασι κνιζόμεναι τοῖς ἐκ τῆς ὑποψίας,
γυναικολύπως φέρουσι ταῦτα καὶ ζηλοτύπως.

Εἰσὶ καὶ γάρ τοι συμφοραὶ καὶ τῶν δακρύων μείζους·
ἔχει γὰρ οὕτω φύσεως τὰ τῶν ἀνθρώπων πάθη·
ἐν μὲν εὐφόροις πάθεσιν ἀλγέσι τε μετρίοις
ἄφθονα καταστάζουσι τὰ τῶν δακρύων ῥεῖθρα,
καὶ λούουσι τὰ βλέφαρα καὶ καταντλοῦσι κόρας,
ὡς ἔκ τινος προρέοντα πηγῆς εὐϋδροτάτης,
καὶ τοῖς ἀλγοῦσι παύουσι τῶν ὀδυνῶν τὸ βάρος,
ὡς ἐξοιδοῦντος τραύματος ἀποκουφιζομένοις·
ἐν δυσκομίστοις δὲ κακοῖς καὶ πόνοις δυσαγκάλοις
φεύγουσι τὰ δάκρυα τὰς κόρας προδιδόντα,

lentes abigit, idemque facit canibus ad præsepia vigilantibus. Canes enim, cum non possint ut equi hordea vesci, nec equos ipsos hordeis uti sinunt. — Ad zelotypiam enim foeminæ sunt à Natura comparatæ. Et quando amoris uruntur igne, ardentque admotis Dei tædis præcordia, si amatores nactæ fuerint forma decoros, venustis similes statuis, proceros ut platani, oculos, vocem, incessum, nutus, motus, sermones observare solent suspiciosiores, et mentis dubiæ inquietis actæ stimulis, muliebriter invidiæ torquentur sollicitudinibus.

Sunt profecto calamitates vel fletibus majores. Hæc est enim humanorum infortuniorum natura: in ferendis malis curisque levibus largi defluunt lacrymarum rivi, et palpebras humectant, irrorantque oculos, ex fecundo veluti fonte dissilientes; sicque fit levius miseriarum onus miseris, ægro velut cui ulcus sanie taboque turgescens resolvitur. Ast in ærumnis gravissimis intolerabilibusque malis, refugiunt lacrymæ desertis oculis,

et, in altiora introrsum se condentes, stillantibus ora guttis sulcare negant. Tepido enim humori ad oculos palpebrasque properanti occurrens obviam dolor intestinus, ejus sistit cursum antequam in exteriora effluat, et retro relabi largum cogit rorem, qui, a recto qua ad pupulas ferebatur tramite retractus, et clausa ad palpebras nota via, in animum cadit refluus, et acerbius facit pectoris saucii vulnus.

Sæpe etenim interitus est vita optabilior ipsa, et mors, quæ curis angoribusque finem statuit, multo utilior est ærumnosa vita. Atque omnino quorum vitam densa circumstat turba malorum, pro beneficio præmatura esse sibi fata putant, quæ dolorum important finem obliviumque doloris.

καὶ φθάνουσι χωρήσαντα μᾶλλον ἐπὶ τὸ βάθος
ἢ πρόσωπον ῥαντίσαντα ῥανίσι λευκοθρόμβοις·
συναντομένη γὰρ αὐτοῖς ἡ σπλαχνοφάγος λύπη
ἀναδραμεῖν σφαδάζουσιν εἰς βλέφαρα καὶ κόρας,
τὴν ῥύμην τούτων ἵστησι πρὶν ἔξω παρακύψαι,
σφοδρῶς ἀναπιδύοντα κάτω μετοχετεύει·
τὸ δάκρυ δ' ἐκτρεπόμενον ὁδοῦ τῆς εἰς τὰς κόρας,
εἰργόμενόν τε τῆς φορᾶς τῆς εἰς τὰς βλεφαρίδας,
ἀντεπιῤῥεῖ πρὸς τὴν ψυχὴν ὥσπερ ἐν παλιῤῥοίᾳ,
καὶ χαλεπώτερον ποιεῖ τὸ τῆς καρδίας τραῦμα.

Πολλάκις γὰρ καὶ τελευτὴ ζωῆς εὐκταιοτέρα,
καὶ θάνατος λυσίφροντις καὶ παύων ἀλγηδόνας
πολλῷ κερδαλεώτερος μεγαλοπόνου βίου·
καὶ πάντως οἷς βαρύμοχθος καὶ τληπαθὴς ὁ βίος,
ὁ πρὸ τῆς ὥρας θάνατος ἐκείνοις εὐεργέτης,
παυσώδυνος γενόμενος, καὶ πόνων λήθην φέρων.

ΕΚ ΤΩΝ ΕΡΩΤΙΚΩΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Τῶν κατὰ Ἀρίστανδρον καὶ Καλλιθέαν.

ΛΟΓΟΣ Ζ.

Η ΓΗ γὰρ οὖσα συγγενὴς ἡλίῳ καὶ τοῖς ἄστροις
ἀνακαλύπτει πρὸς αὐτὸν πάντα τὰ κεκρυμμένα
γλώσσαις ἀφθόγγοις σιδηραῖς καὶ στόμασιν ἀλάλοις.

Τὸ τόξον ἂν ἐν τάσει τις διηνεκῶς τηροίη,
ῥαγήσεται, τῆς τάσεως οὐκ ἐνεγκὸν τὴν βίαν·
ἂν ὑπολύῃ τὴν φορὰν, τὸν τόνον ἂν χαλώῃ,
τὸ τόξον ἀνενέργητον, ἠπάλυνται τὸ κέρας·
ἂν δὲ καθ' ὥραν τείνοιτο καὶ λύοιτο καθ' ὥραν,
καὶ συντηρεῖται, καὶ καλῶς τοὺς ὀϊστοὺς ἐκπέμπει,
ἐπιτυχεῖς δὲ τίθησι νευροσπαδεῖς ἀτράκτους,

EX EROTICIS

NOVEM LIBRIS

SAPIENTIS VIRI MANASSIS

De rebus Aristandri et Callitheæ.

LIBER VII.

TELLUS enim soli et astris congenita, occulta quæque ipsi aperit ferreis linguis silentibus, oribusque mutis.

Arcum si quis tensum semper habuerit, rumpetur rigoris nimietate; si vero retentus fuerit laxatus que, jam est inutilis, et cornu vis minuitur. At si subinde intensio fiat et remissio, tunc erit utilis, et apte sagittas emittet, telaque certa volabunt adducto pulsa nervo, neque cadent imbellia

sine ictu. Itaque homo si perpetuis vivat intentus curis, usque graves versans sub pectore sollicitudines, velitque semper rebus invigilare seriis, mox inscius delirante lingua menteque insaniet, nimia animi intensione fractus ipse et æger. Quod si immodicis se tradat voluptatibus, et potui mollitieique indulgeat, et cum tibicinis ludatque canatque, et voluptatibus totas mentis permittat habenas, Sardanapalum vincet, vincet Smindyridam, se ad nullam rem præstabit idoneum, superabit mollem illum Sagarim qui ad senectam usque annosamque canitiem, ex ore nutricis, parvulus ceu puer, alimenta sumebat trita et admorsa, ne mandenti ipsi dentes dolerent, nec infra umbilicum manum unquam protulit, non in ipsa juventute. Sit ergo modus in voluptatibus, laboribusque, et curis atque doloribus.

Intus enim tabem alit invidus, non tantum cum se summis cernit oppressum ma-

καὶ τὰς βολὰς οὐχὶ νεκρὰς, ἀλλ' οὐδ' ἀνεμωλίους·
κἂν ἄνθρωπος ἐμμέριμνον ἀεὶ ζωὴν ἀνύοι,
καὶ τὴν ψυχὴν κατάφορτον φροντίσι περιφέροι,
καὶ βούλοιτο τοῖς πράγμασιν ἀεὶ κατεσπουδάσθαι,
λάθοι φανεὶς καὶ φρενοπλὴξ αἴφνης γεγενημένος
καὶ τῆς ψυχῆς τὸ σύντονον ῥαγεὶς καὶ κινδυνεύσας·
κἂν ἄμετρα θηλύνοιτο, καὶ πίνοι, καὶ τρυφῴη,
καὶ ταῖς φιλαύλοις γυναιξὶ συμπαίζῃ καὶ συμψάλλῃ,
ὅλας διδοὺς ταῖς ἡδοναῖς τὰς τοῦ νοὸς ἡνίας,
νικήσει Σαρδανάπαλον, νικήσει Σμινδυρίδην,
πρὸς ἔργον ἅπαν ἑαυτὸν ἀχρεῖον καταστήσει,
ὑπερβαλεῖται Σάγαριν, τὸν μαλακὸν ἐκεῖνον.
ὃς, μέχρι γήρως καὶ λευκῆς παλαιοχρόνου,
ἐκ τοῦ τῆς τίτθης στόματος ὡς βρέφος ἐσιτεῖτο
ἀληλεσμένην τὴν τροφὴν καταμεμασημένην,
ὡς ἂν μηδὲ μασσώμενος ἀλγήσει τοὺς ὀδόντας,
τοῦ δ' ὀμφαλοῦ κατώτερον τὴν χεῖρα τὴν ἰδίαν
οὐδέποτε προήνεγκεν, οὐδ' εἰς αὐτὴν τὴν ἥβην.
Ἐστάτω γοῦν τὸ μέτριον κἂν ταῖς ἡδυπαθείαις,
κἂν μόχθοις, κἂν τοῖς ἄλγεσι, κἂν ταῖς βαρυθυμίαις.

Σύνοικον γὰρ ὁ φθονερὸς τὴν τηκεδόνα φέρει,
οὐ μόνον βλέπων ἑαυτὸν ἐπὶ κακοῖς ἐσχάτοις,

ἀλλὰ κἂν ἕτερον καλῶς φερόμενον ὁρώῃ.

Ἀλλ' ἔστι σκότιον οὐδὲν ὅπερ εἰς φῶς οὐχ ἥκει,
οὐκ ἔστι κρύφιον οὐδὲν ὃ μὴ πρὸς γνῶσιν φθάνει,
κἂν ὑπὸ ῥίζας κρύπτοιτο γῆς ὑποπυθμενίου.

Ὁ φόβος γὰρ καὶ τὰ στένα τοῖς φεύγουσιν εὐρύνει.

Ἀλλ' ἀληθὴς, ὡς ἔοικεν, ὁ γνωματεύσας λόγος,
ὡς ὁ χρηστὸς οὐ δύναται τὴν γνώμην μεταθεῖναι,
οὐδ' ἐκλαθέσθαι τῆς ῥοπῆς τῆς εἰς ὀρθοτροπίαν.

Τὸ γὰρ δημοκοπούμενον, ὡς ἔοικεν, οὐ ψεῦδος,
ὡς ἆρα μόνος ὁ χρυσὸς, τἄλλα δ' οὐδὲν ἰσχύει.

Μίτοις αἱ Μοῖραι κλώθουσι πάντα τὰ τῶν ἀνθρώπων,
καὶ τὸ καθάπαξ κυρωθὲν οὐ δύναται λυθῆναι,
οὐδ' ἔστιν ἀναλύσιμον τοῦ δαίμονος τὸ κλῶστρον.
Καὶ τί ματαίως, ἄνθρωπε, τεχνάζῃ καὶ σοφίζῃ;
μὴ σθένων τὰ κλωστήρια τοῦ δαίμονος ἀμεῖψαι,
κἂν πάντα διαπράξαιο, κἂν εἰς μυρία κάμῃς,

his, sed et ingratos videns successus hominum.

At obscurum nihil est, quod non in dias prodeat luminis oras; occultum nihil, quod non hominibus in notitiam veniat, profundæ licet lateat terræ sub radicibus.

Metus enim vel angusta viarum dilatat fugientibus.

Sed vera esse videtur hæc sententia, justum virum esse tenacem propositi, nec a recto virtutis tramite deflectere.

Non falso dici videtur quod vulgo dicitur, aurum nempe solum valere, at cetera posse nihil.

Colis Parcæ volvunt cunctas res hominum, nec solvi potest quod fuit sancitum semel, nec retro queunt fati fila revolvi. Quid ergo incassum, homo, laboras frustraque te torques, cum fatalia neutiquam valeas stamina mutare, quamvis nil intentatum linquas, multa feras faciasque,

aerias tentes domos celsaque cœli templa, quamvis in profundos oceani gurgites mergaris, omnesve marium pererres portus? An omnia hæc poetarum esse mendacia dixeris nugasque canoras?

κὰν πετασθῇς εἰς οὐρανὸν, κὰν εἰς αἰθέρος ὕψος,
κὰν φθάσῃς ἅλμης εἰς βυθὸν καὶ τοὺς αὐτοῦ λιμένας·
ἢ ψεῦδον πάντα καὶ κενὴ ποιητικὴ τερθρεία; 51

ΕΚ ΤΩΝ ΕΡΩΤΙΚΩΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Τῶν κατὰ Ἀρίστανδρον καὶ Καλλιθέαν.

ΛΟΓΟΣ Η.

Πῶς ῥήγνυται σκολόπενδρα, τὸ ποντόβαμον ζῶον,
ἀνθρώπου πτύελον αὐτοῦ ἀφέντος εἰς τὸ στόμα;
καὶ πῶς θλιβεὶς καὶ χυλωθεὶς καρπὸς ὁ τῆς ἰτέας
ἀνθρώπῳ τε παρά τινος προσενεχθεὶς εἰς πόσιν,
τὸ παιδουργὸν καὶ γόνιμον σπέρμα νεκροῖ καὶ ψύχει;

Ἡ γὰρ ὁμίχλη τῶν κακῶν καὶ συμφορῶν τὸ κνέφας
καὶ κάλλος οἶδεν ἀμαυροῦν καὶ τὴν μορφὴν αἰσχύνειν,
καὶ κάμινος ἐρίβρομος ἡ τῶν πειρατηρίων
λοκρὸν ὡς ῥόδον δύναται τὸ πρόσωπον συμφρύγειν.

EX EROTICIS

NOVEM LIBRIS

SAPIENTIS VIRI MANASSIS

De rebus Aristandri et Callitheæ.

LIBER VIII.

Qui fit ut scolopendra æquorea bestia rumpatur, si in ejus os homo despuerit? Et qui ex attrito expressus saligneo semine succus, homini si bibendus detur, fecundum et genitalem humorem vitali privat calore?

Malorum enim nebulæ et ærumnarum tenebræ pulchritudinem obscurare solent formamque turpare; et infortuniorum fervens caminus vultum torret Locrensem veluti

rosam. Quamvis ut Nireus pulchra sis forma conspiciendus, et alter Achilles Nereïdis pulchros referas vultus, si angoris vermis tua laniet præcordia, ocyus forma perit, marcescit rosa, genarum folia rodunt erucæ voraces, pro lilio est thapsus, et pro flore cinis splendido. Quamvis gigantis habeas vires, Enceladique manus, et Parnassos valeas totos loco movere et Athones, atque velut Atlas humeris æthereas ferre columnas, si doloris pennata in te fuerit missa sagitta, et hæreat imis in fibris fixa tuis, non jam tantum tibi roboris erit ac culici, aut formicæ, serphove: malorum enim opprimit te pondus et incurvat, ut faber lignarius curvaturam rotæ.

Tempus cujusque mores hominis arguere valet, Lydius ut lapis adulterinum et sincerum aurum.

Amicus in ærumnis exploratur amici an benevolum se simulet vel sit ex animo fidus: oportetque amicum amici malorum esse consortem.

Αν ἔχῃς ὄψιν λάμπουσαν ὑπὲρ τὴν τοῦ Νιρέως,
ἂν Νηρηΐδος καλλονὴν ὡς Ἀχιλλεὺς πλουτοίης,
καὶ σπλαγχνοφάγος σκώληξ σε θλίψεων κατεσθίῃ,
ταχὺ τὸ κάλλος ὑποῤῥεῖ, μαραίνεται τὸ ῥόδον,
καμπόϐρωτον τῆς ὄψεως τὸ φύλλον χρηματίζει,
θαψὸς τὸ κρίνον γίνεται, σποδὸς τὸ λάμπον ἄνθος.
Ἂν ἔχῃς γίγαντος ἰσχὺν, ἂν Ἐγκελάδου χεῖρας,
ἂν ὅλους δύνῃ Παρνασοὺς μετακινεῖν, ἂν Ἄθως,
ἂν ὥσπερ Ἄτλας οὐρανοῦ τοὺς κίονας βαστάζειν,
καὶ πειρασμῶν σοι βέλεμνον ἐπαφεθῇ πτερόεν,
καὶ πετασθῇ, καὶ φθάσῃ σου τὸ τῆς καρδίας βάθος,
οὐ μέχρι κώνωπος ἰσχὺς, οὐ μύρμηκος, οὐ σέρφου·
τῶν γὰρ κακῶν πιέζει σε τὸ βάρος καὶ συγκάπτει,
ὡς εἴ τις ἁμαξοπηγὸς κάμψῃ τροχὸν ἁμάξης.
Ἥρωος δύναται παντὸς ἦθος ἀνδρὸς ἐλέγχειν,
ὡς ἡ Λυδία κίϐδηλον καὶ καθαρὸν χρυσίον.

Ὁ φίλος ἐν κακοῖς ἐλέγχεται τοῦ φίλου
εἰ πλάττεται τὸ φίλιον, εἰ κατὰ βάθους ἔχει·
καὶ χρὴ τὸν φίλον συμπονεῖν ἐν συμφοραῖς τῷ φίλῳ.

Ονειροι γὰρ ὡς τὰ πολλὰ φαντασιοκοποῦσιν,
ἀνατυποῦντες εἴδωλα καὶ ζωγραφοῦντες τύπους
τῶν ἀκουστῶν καὶ θεατῶν ἡμερινῶν πραγμάτων·
πολλάκις δὲ καὶ τῶν τροφῶν ποιότητες καὶ πλήθη,
καὶ πλεονάζοντες χυμοὶ, καὶ νόσοι, καὶ δειλίαι,
ἐπάγειν δύνανταί τισιν ὀνείρους ταραχώδεις.

Καρδία γὰρ ἀπάνουργος καὶ μὴ δολοῤῥαφοῦσα
ψυχῆς δρακοντογνώμονος οὐκ οἶδε φαρμακείας.

Ἀλλὰ τὸ γενησόμενον, ὡς ἔοικε, καὶ μέλλον
οὐ τεῖχος σχήσει σιδηροῦν, οὐδὲ πυρὸς ἡ γνάθος,
οὐ λογισμὸς ἀνθρώπινος ἰσχύσει περιτρέψαι·
ὁ γὰρ θεὸς ἁπτόμενος ἀνθρώπου διανοίας
ἡνίκα τῷ δυσδαίμονι κίρνησι πένθους πόμα,
οὐδὲν πολλάκις συγχωρεῖ βουλεύσασθαι συμφέρον.

Somnia enim sæpe nos ludunt imaginibus, simulacra figurasque rerum imitantia quæ interdiu auditæ visæque sunt; nec raro ciborum naturæ et gravitas, atque succorum nimietas, morbique terroresque, nonnullos possunt sollicitis turbare insomniis.

Mens enim simplex atque inscia fraudis mentis viperinæ ignorat quæ sint venena.

Quod futurum est fierique debet, non, puto, ferreus impediet murus, nec Vulcania pestis nec humana poterunt intervertere consilia. Quando enim Deus, humanæ potentem menti manum admovens, misero homuncioni luctus miscet poculum, sæpe non providere sinit quid sit utile, quid non:

EX EROTICIS

NOVEM LIBRIS

SAPIENTIS VIRI MANASSIS

De rebus Aristandri et Callitheæ.

LIBER IX.

NON cœlestis divinaque planta homo est, non arbor ipsa Dei culta manu, sed Dei ludibrium fortunæque pila. Quam nihil homine infirmius tellus alit! Quam est instabilis tota hominis vita; ævum totum quam instabile! Quam vana umbra res sunt mortalium! Unus enim dies veluti rhombum trochumve cuncta versatque rotatque.

Quam nihil est hominibus constans et stabile! sed fumus cuncta mortalium et umbra.

Natura enim res est invida eunuchus omnis.

ΕΚ ΤΩΝ ΕΡΩΤΙΚΩΝ

ΕΝΝΕΑ ΛΟΓΩΝ

ΤΟΥ ΣΟΦΟΥ ΜΑΝΑΣΣΗ

Τῶν κατὰ Ἀρίστανδρον καὶ Καλλιθέαν.

ΛΟΓΟΣ Θ.

ΟΥ φυτὸν οὐράνιον ἄνθρωπος οὐδὲ θεῖον,
οὐ δένδρον κηπευόμενον τῇ τοῦ θεοῦ παλάμῃ,
ἀλλὰ θεοῦ διατριβὴ, καὶ παίγνιον τῆς τύχης.
Ὡς ἀκιδνότερον οὐδὲν ἀνθρώπου γαῖα τρέφει!
Ὡς βίος πᾶς ἀστάθμητος καὶ πᾶς αἰὼν ἀνθρώπου,
ὅτι σκιὰ τὰ τῶν θνητῶν! ἡμέρα καὶ γὰρ μία
ὡς ῥόμβον πάντα καὶ τροχὸν καὶ στρέφει καὶ κυλίνδει.

Ὡς ἄρα βέβαιον οὐδὲν, οὐ στάσιμον ἀνθρώποις!
ἀλλὰ καπνὸς τὰ τῶν θνητῶν, ἀλλὰ σκιὰ τὰ πάντα.

Φύσει καὶ γὰρ ζηλότυπον ἅπας εὐνοῦχος χρῆμα.

Τῷ γὰρ τοξεύοντι, φασὶν, εἰς οὐρανοῦ τὸ βάθος,
εἰς ὀφθαλμοὺς, εἰς πρόσωπον τὸ βέλος ἀναστρέφει·
κἂν πέτρον ὀκριόεντα φιλονεικῇ τις βάλλειν,
καὶ πέμπειν εἰς χαλκόλιθον χαλκοβαρῆ μελίαν,
τὸ βέλος ἀνεμώλιον, ἀπάλαμνος ὁ βάλλων,
οὐκ ἐνεργὸν τὸ σίγυμνον, ὁ πέμπων ματαιάζει·
καὶ γὰρ ἀποκαυλίζεται καὶ θραύεται τὸ δόρυ,
καὶ κολοβοῦται τὴν ἰσχὺν τῆς ἐπιδορατίδος·
πῆ δὲ κωφὸν καὶ μάταιον ἐλέγχεται, καὶ πίπτει
τριχθὰ δρυφθὲν καὶ τετραχθὰ δίκην ὀστράκου κραύρου,
ποτὲ δὲ καὶ τοῦ βάλλοντος τὸ στέρνον διαπείρει,
ἀναστραφὲν ὡς ἔκ τινος γίγαντος εὐπαλάμου.

Καὶ πᾶς μὲν γὰρ ἀτιμασθεὶς καὶ δυστυχήσας ἔρως,
ὡς κύων κάρχαρος λυττῶν, ἐκμαίνεται καὶ δάκνει,
καὶ τῆς μανίας τὸν ἀφρὸν καὶ τὸν θυμὸν τοῦ χόλου,
ὡς κρυερὸν Κερβέρειον σίελον, ἀποβλύζει·
ἂν δὲ γυνὴ καὶ βάρβαρος ἡ περιφρονουμένη,
ἂν δὲ καὶ τύχην ἔχουσα κυρίαν τοῦ κολάζειν,
ἰαταταὶ κολαστικῆς καὶ μιαιφόνου γνώμης!
ακὸν τὸ δούλιον βάρος τινὰ βαστάσαι·
τῇ βίᾳ γὰρ νικώμενος τολμᾷ τὸ μὴ προσῆκον.

Homini aiunt, qui cœli convexa telo petit, in oculos vultumque retro redire telum! Et si quis rigidum lapidem conetur in fraxinum mittere, arborem quæ æs et saxa duritie, æs æquat gravitate, ictus est irritus; operam ludit qui jaculatus fuit; telum est imbelle, imbellisque qui misit: etenim jaculum frangitur, cuspis hebetatur; et post vanum refuga conamen, fragilis velut testa trifariam quadrifariamque comminuta hasta jacet; nonnunquam et retropulsa, robusti quasi gigantis dextra, jaculatoris ipsius pectus transadigit.

Amor enim neglectus et repulsa dolens, canis ceu rabie percitus, furitque mordetque, et rabidi spumas oris, iram atque bilem, salivam veluti cerbeream, evomit. Quod si despecta fuerit mulier eaque Barbara, et cui puniendi potestas, mentem heu! sævam et carnificem! Jam sunt levia ipsa servitutis mala: iræ enim atque animi impos ad atrocissima ruit.

Parit enim aliquando et lætitia lacrymas, reseratis præ gaudio cordis meatibus, et ad ipsos oculorum orbes rorem agentibus suum, aquarios veluti per sulcos; vel nativam humoris tepidi clepsydram.

Fortuna enim invidens felicibus hominum obliquo ægroque divitiorum commoda limat oculo, atque sapientium, et quorum pulchro venit in corpore virtus.

Vilia quippe et ignobilia despectaque non digna esse videntur quæ sublimi Deus tangat flagello.

Malefacta enim quæ fiunt invitis nobis et insciis venia prosequuntur hominesque Deusque.

Viros bello innutritos et pugnæ scientes oportet vel manus fœdare hostium sanguine, et plurimo ipsorum maculatas cruore indui tunicas, vel fortiter cadere et animose, multa vi prælia miscentes.

Γίνεται γάρ τοι καὶ χαρά ποτε δακρύων μήτηρ,
ἀνιεμένων ὑπ' αὐτῆς τῶν τῆς καρδίας πόρων,
καὶ προχεόντων ἐπ' αὐτὰ τῶν ὀφθαλμῶν τὰ κύκλα,
καθάπερ εἰς διώρυχάς τινας ὑδατοδόχους,
ἢ καὶ κλεψύδραν φυσικὴν νοτίδος ὑγροθέρμου.

Ὁ δαίμων γὰρ ζηλότυπος πρὸς τοὺς εὐημεροῦντας,
καὶ φθονερὸν καὶ ζάκοτον ἐμβλέπει τοῖς πλουτοῦσι,
καὶ τοῖς σοφοῖς καὶ τοῖς καλοῖς καὶ τοῖς ἀνδρωδεστέροις.

Τὰ φαῦλα γὰρ καὶ δυσγενῆ καὶ τὰ παρεῤῥιμμένα,
ὡς ἔοικεν, ἀνάξια καὶ τῶν θεοῦ μαστίγων.

Τὰ γὰρ ἀκούσια κακὰ καὶ τὰ παρὰ τὴν γνώμην
καὶ τοῖς ἀνθρώποις καὶ θεῷ συγγνώμης ἀξιοῦνται.

Τοὺς συντραφέντας ὁπλισμοῖς καὶ τοὺς ἐμπειρομάχους
ἢ χεῖρας χρὴ τοῖς αἵμασι τῶν πολεμίων χραίνειν
καὶ φόνοις σφῶν λυθρόβαπτον ἀμπέχεσθαι χιτῶνα,
ἢ πίπτειν εὐτολμώτατα καὶ μεγαλοκαρδίως,
τοῖς ἀντιμάχοις καρτερῶς ἀντιπαλαμωμένους.

Ἂν γὰρ χαρᾶς ὀχέτιον, ἂν ἡδονῆς ῥανίδες
τὴν ῥίζαν τὴν πρωτόβλαστον ἄρδωσι τὴν καρδίαν,
ἂν τὴν πηγὴν τοῦ ζωτικοῦ καὶ τοῦ θερμοῦ τοῦ πρώτου
νοτὶς ἀγαλλιάσεως γλυκεῖα περιβρέχῃ,
ἄνθος ἡδὺ φαιδρότητος τὴν ὄψιν περιτρέχει,
ἐνεαρίζειν ἔοικε τὸ βλέμμα καὶ νέαζειν,
καὶ μειδιᾷ πορφύρεον τὸ πρόσωπον ὡς ῥόδον,
καὶ γίνεται λαμπρότερος εἰς κάλλος καὶ Νιρέως
ὁ τὴν μορφὴν ὡρακιῶν, ὁ καπνηρὸς τὴν ὄψιν,
κἂν εἴη μέλας Ἐρεμβὸς, καὶ Ἄραψ κρικοφόρος.
Ἂν δὲ καρδίαν δαπανᾷ δακέθυμος ὀδύνη,
ἂν τὴν τοῦ σώματος ἀρχὴν τὴν πρώτην ὑπορύσσῃ
τῆς λύπης τὸ περίπικρον, ὡς ξυλοφάγος σκώληξ,
ἂν συμφορῶν πυρκαϊὰ τὴν ῥίζαν ὑποκαίῃ,
ἰατταταί! συμφρύγονται καὶ κλῶνες καὶ στελέχη,
τὸ θαλερὸν μαραίνεται, το κάλλος ὑποῤῥέει,
τὸ δὲ χλοάζον τῆς μορφῆς καὶ ψύγεται καὶ φθίνει,
καὶ γίνεται σποδοειδὴς καὶ θάψινος τὴν χρόαν
ὁ πρώην ἀστεράμορφος, ὁ κάλλους αὐγὰς λάμπων,
κἂν Ἀχιλλέος καλλονῇ νικᾷ καὶ Ὑακίνθου,
κἂν ὡραιοτάτοις μαστοῖς καὶ γλάγεσιν ἐτράφη,
κἂν ἄρτι φθάσας εἰς τὸ φῶς αὐτοῖς ἐναπελούθη
τοῖς τῶν Χαρίτων νάμασι καὶ ταῖς πηγαῖς τοῦ Κάλλους.

Si enim gaudii rivus, voluptatis si guttulæ principem cordis radicem irrorent; stilla si dulcis lætitiæ fonti vitalis calidique principii misceatur, suavis hilaritatis flos vultui innascitur, oculi vernant fere et juvenescunt, et purpurea facies, rosa ceu, ridet, fitque vel Nireo pulchrior ipso qui obscuras cinereo colore genas pallebat, Erembus licet sit niger, Arabsve annulatus. Si vero animum depascatur atrox dolor, si ipsa vitæ principia fodiat et subvertat amarus angor, vermis ceu lignum edax, si ærumnarum incendium radicem exurat, torrentur heu! simul rami truncusque, marcescit quod erat vegetum, quod pulchrum evanescit, quod in facie florebat consumitur frigore adustum, fitque cineri et buxo concolor cui nuper radiabant pulchri ut sidus ocelli, Achille licet et Hyacintho fuerit formosior ipso, e mammis licet tenerrimis traxerit lac nectareum, quamvis dias veniens in luminis oras Gratiarum fuerit ablutus fluentis fontibusque Decoris.

In bello res, non verba prosunt, et pugnæ exitus a manuum strenuitate pendet non ab oris loquacitate.

.... Prudentia vincit vires, sapiensque consilium sexcenta superat brachia.

Non enim marmor, nec ferrea clava, ossa viri confringet Ægyptii. In causa vero est quod Ægyptii statim a puero sibi capita tondent nudanturque capillis; nec pileis utuntur aliave fronti tegmina habent: nuda ergo soli præbent tempora; et cum fervidis sol micat radians ignibus, ossium meatus densantur, quippe quæ igneis astri spiculis indefensa patent. Hinc raro videas in Ægypto alicui e calvitie comas defluere.

Lucelli enim spes mercatoribus addit animos, ut flumina mariaque audeant rabida, et propter aurum objectent vitam periculis.

FINIS.

Ἐν τοῖς πολέμοις πράξεων, ἀλλ' οὐχὶ λόγων χρεία,
καὶ μάχης τέλος ἐν χερσὶν, ἀλλ' οὐκ ἐν ϛομυλίᾳ.

...... Σύνεσις ἰσχύος ὑπερτέρα,
καὶ κρεῖττον βούλευμα σοφὸν μυρίων βραχιόνων.

Οὐδὲ γὰρ λίθος μάρμαρος, οὐ σιδηρᾶ κορύνη
ὀϛοῦν ἀνδρὸς συντρίψειε τραφέντος ἐν Αἰγύπτῳ·
αἴτιον δ' ὅτι κεφαλὰς Αἰγύπτιοι ξυρῶνται
εὐθὺς εὐθὺς ἀπὸ παιδὸς καὶ τῶν τριχῶν ψιλοῦνται·
οὐ χρῶνται πίλοις, οὔ τισιν ἑτέροις ἐπικράνοις·
ἀκαλυφεῖς γὰρ αἴρουσι τὰς κεφαλὰς ἡλίῳ·
ἐμφλόγων οὖν προσβαλλουσῶν ἡλιακῶν ἀκτίνων,
πυκνοῦνται καὶ παχύνονται πάντες ὀϛώδεις πόροι,
ἐγγυμναζόμενοι βολαῖς καυσώδεσιν ἀμέσως.
Ἐντεῦθεν σπάνιον ἰδεῖν παρὰ τοῖς Αἰγυπτίοις
ἐκ φαλακρώσεώς τισι τὰς τρίχας ἐκρυείσας.

Ἡ τοῦ κερδαίνειν γὰρ ἐλπὶς ἐπείγει τοὺς ἐμπόρους
καὶ ποταμῶν καὶ θαλασσῶν κατατολμᾷν ἀγρίων,
καὶ τὰς ψυχὰς διὰ χρυσὸν κινδύνοις παραβάλλειν.

ΤΕΛΟΣ.